G

Digitized by Google

41.
279.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

INITIA GRÆCA:

FOR THE USE OF THE

JUNIOR CLASSES

OF

KING'S COLLEGE SCHOOL.

LONDON:
B. FELLOWES, LUDGATE STREET.

1841.

279.

Digitized by Google

LONDON:
PRINTED BY STEWART AND MURRAY,
OLD BAILEY.

Digitized by Google

PREFACE.

THE Pupils, for whose use this manual is designed, will be expected to be conversant with the Forms of Declension and Conjugation through the medium of the Greek Vocabulary, and with the principles of construction by initiation into Latin. The sentences in the first twelve pages will serve to ensure a more perfect knowledge of the rudiments, (particularly the Formation of Tenses); and are taken principally from the Greek Testament, both on account of the purity of the source and the simplicity of the language. The next part consists of a selection from Æsôp's Fables, which are well suited for the efforts of beginners. The miscellaneous pieces, entitled 'Anecdotes,' &c., were supplied by an elementary German work.* The concluding part contains Extracts from the First Book of Xenophon's Anabasis, headed by an Analysis of each, as a guide to the learner, and on the plan of the 'Excerpta ex Xenophontis Cyropædia.' The whole is accompanied by explanatory Notes and a copious Lexicon; and will, it is hoped, prove to the diligent Pupil a competent introduction to a more extended course of Greek reading, from which its reasonable limits will not long detain him.

The Grammar, referred to in the Notes, is the Sixth edition of the Abridgement of Matthiæ's.

* Dr. J. H. P. Seidenstücker's Elementarbuch zur Erlernung der Griechischen Sprache. Hamm. 1831.

Digitized by Google

CONTENTS.

	Page
The Verb εἰμί	1
Regular Verbs in ω	3
Contracted Verbs	6
Verbs in μι	8
Irregular, Defective, and Compounded Verbs	10
Fables	13
Anecdotes, &c.	21
Extracts from Xenophon's Anabasis, b. I.	32
Notes	58
Lexicon	80—129

Digitized by Google

INITIA GRÆCA.

The Verb εἰμί.

Ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια.

Ὁ οὐρανὸς θρόνος ἐστὶ τοῦ Θεοῦ, ἡ δὲ γῆ ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ.

Αἱρετώτερον ὄνομα ἀγαθὸν ἢ πλοῦτος πολύς.

Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ.

Ὁ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστί.

Πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστί.

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι.

Ὥσπερ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

Digitized by Google

Ἡ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πενιχρὸς,
Οὔτε κακὸς νόσφιν δαίμονος, οὔτ' ἀγαθός.

Ἦν ὁ Ἰησοῦς ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα, καὶ ἦν μετὰ τῶν θηρίων.

Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

Ὅπου ἐστὶν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Ἔσεσθε ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

Ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι.

Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής.

Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται.

Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται· εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον!

Οὐκ ἀγαθὸν πολυκοιρανία, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς.

Φιλήκοος ἴσθι καὶ μὴ φιλόλαλος.

Digitized by Google

Regular Verbs in ω.

Active Voice.

Μὴ πράττε αἰσχρὸν μηδὲν, μηδὲ μετ' ἄλλου, μήτ' ἰδίᾳ.

Ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσι.

Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.

Οὐ φονεύσεις· οὐ μοιχεύσεις· οὐ κλέψεις.

Τὴν εὐτυχίαν κρύπτε φθόνου χάριν.

Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.

Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι· καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει.

Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

Οὐδεὶς λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει.

Ἡ πίστις σου σέσωκέ σε.

Κηρύσσετε, λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

Νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;

Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον.

Digitized by Google

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι.

Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν.

Ὁ σπείρων τὸ καλὸν σπέρμα, ἔστιν ὁ υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρὸς, ἔστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνια, εἰσὶν οἱ υἱοὶ τοῦ πονηροῦ· ὁ δὲ ἐχθρὸς, ὁ σπείρας αὐτὰ, ἔστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς, συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν.

Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν.

Passive and Middle Voices.

Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε.

Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

Χριστὸς ἐτάφη καὶ ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς.

Τὸ σῶμα ὁμοίως τοῖς ἐαρινοῖς ἄνθεσι μαραίνεται.

Πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ.

Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι.

Digitized by Google

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκα δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω.

Αἰεί μοι φίλον ἦτορ ἀγάλλεται, ὁππότ' ἀκούσω Αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.

Μήτε κακοῖσι νοσῶν λυποῦ φρένα, μήτ' ἀγαθοῖσι Τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει.

Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι· ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ.

Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Κυρίου, μακάριοι.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

Ὁ πεποιθὼς ἐπὶ Κύριον, εὐφρανθήσεται.

Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· σεισμοί τε μεγάλοι καὶ λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομα σοῦ.

Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἄγουσα εἰς τὴν ζώην.

Digitized by Google

CONTRACTED VERBS.

Active Voice.

Ἐρευνᾶτε τὰς γραφάς· ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

Ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.

Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς.

Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.

Εἰ νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν γραφήν· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε.

Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων.

Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν.

Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Digitized by Google

Passive and Middle Voices.

Τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα.

Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος.

Ζεῦξις, αἰτιωμένων αὐτόν τινων ὅτι ζωγραφεῖ βραδέως, ὑμολογῶ, ἔφη, ἐν πολλῷ χρόνῳ γράφειν, καὶ γὰρ εἰς πολὺν χρόνον γράφω.

Μάλιστα ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμᾴης.

Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις.

Αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμημέναι εἰσί.

Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Ταπεινώθητε ἐνώπιον τοῦ Θεοῦ, καὶ ὑψώσει ὑμᾶς.

Ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον.

Ζεὺς Ἡρακλέα καὶ Τάνταλον γεννήσας, (ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι) τὸν μὲν, διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε· τὸν δὲ, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν· οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας.

Ἡ Φωκίωνος γυνὴ ἐρωτηθεῖσα, διὰ τί μόνη τῶν ἄλλων οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη, ὅτι αὐτάρκης κόσμος μοί ἐστιν ἡ τοῦ ἀνδρός ἀρετή.

Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;

Digitized by Google

Verbs in -μι.

Active, Passive, and Middle.

Ζεὺς πάντα τίθησιν, ὅπῃ θέλει.

Οὐ τιθέασι λύχνον ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

Τῶν ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις.

Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, δόματα ἀγαθὰ δίδοτε τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

Ἡ φύσις τὰ δάκρυα ἔδωκεν ἡμῖν παραμυθίαν ἐν ταῖς τύχαις.

Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας γενναίως φέρειν ὅ τι ἂν θεὸς διδῷ.

Πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἀπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.

Ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι.

Ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη.

Πυθαγόρας ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν.

Digitized by Google

Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη.

Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με· Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου· Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπομακρόθεν.

Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, καὶ ἀφίησιν ἁμαρτίας, καὶ σώζει ἐν καιρῷ θλίψεως.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
Γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.

Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος.

Ἐὰν δὲ μὴ ἀφῆτε τοὶς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων, τὸν υἱὸν αὐτοῦ, τὸν Γρύλλον, τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ, θύων· ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον.

Digitized by Google

Irregular, Defective, and Compounded Verbs.

Ὁ Κύριος καρδίας πάντων γινώσκει, καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε πάντα, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ.

Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν.

Μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός σου.

Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις.

Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ.

Γνῶθι σεαυτόν.

Ἐγὼ ἔμαθον, ἐν οἷς εἰμὶ, αὐτάρκης εἶναι.

Χωρὶς τῆς ἀρετῆς καὶ τῆς ἀληθείας οὐδεὶς δύναται εἶναι ὄλβιος.

Ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

Καθὼς ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευίταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.

Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

Αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναίδεια δὲ καὶ ὕβρις
Νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

Digitized by Google

Κιβδήλου ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν.

Τοὺς κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας, ὑλακτοῦσιν· οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ καὶ τοὺς βλάπτοντας, ἀδικοῦσι.

Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ· ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

Τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.

Εὐσέβει τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον· τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον.

Τὸ μὲν τελευτῆσαι πάντων ἡ φύσις κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε.

Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν· τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν.

Ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα

Digitized by Google

λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις, ἐκ ταύτης τῆς ἐπιμελείας, τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

Χρὴ τολμᾷν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
Πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Μή ποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ,
Εὖτ' ἂν σπουδαῖον πρᾶγμ' ἐθέλῃς τελέσαι.
Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους,
Πιστοὺς ἐν μεγάλοις πράγμασι γιγνομένους·
Οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
Ἴσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστί·
Ἴσον καὶ σπείρειν πόντον ἁλὸς πολιᾶς.
Οὔτε γὰρ ἂν πόντου σπείρων βαθὺ λήϊον ἀμῷς·
Οὔτε κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
Ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι, Κύρν', ἔπεται.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἀμείνον
Ἔπλετο, τοῖς ὁσίη, Κύρνε, μέμηλε δίκη.

Digitized by Google

FABLES OF ÆSOP.

ΚΟΧΛΙΑΙ.

Γεωργοῦ παῖς ὤπτα κοχλίας, ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη· ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

ΛΕΩΝ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος κυνηγοὺς φεύγουσα εἰς ἄντρον εἰσέδυ· λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν· οἴμοι, ὅτι, ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων, μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

Digitized by Google

ΓΑΛΗ.

Γαλῆ, εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. Ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο· ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶτταν ἀνήλωσεν.

Ὁ μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Ὄρνις, ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ, θεασαμένη αὐτὴν, ἔφη· ὦ ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;

Ὁ μῦθος δηλοῖ, ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

ΛΑΓΩΟΙ.

Λαγωοί ποτε, πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δ' ἔφασαν· ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

Digitized by Google

ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη τῇ μητρί· μῆτερ, εὔχου τῷ θεῷ, καὶ μὴ θρήνει. Ἡ δ' ὑπολαβοῦσα ἔφη· τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις, πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀποβάλλουσι.

Digitized by Google

ΑΛΩΠΗΞ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη· ὦ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλλοκότους.

ΑΝΘΡΑΚΕΥΣ ΚΑΙ ΓΝΑΦΕΥΣ.

Ἀνθρακεὺς, ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ γναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ γναφεὺς ὑπολαβὼν ἔφη· ἀλλ' οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι· δέδια γὰρ, μήπως, ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ' ἀφῆκεν· ἡ δὲ, κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις, τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

Digitized by Google

ΧΗΝΕΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι, κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν· οἱ δὲ χῆνες, διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

ΜΥΙΑΙ.

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον, ἀποπνιγόμεναι δ' ἔλεγον· ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ὄρνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας, ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὗρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

Digitized by Google

ʽΑΛΙΕΙΣ.

ʽΑλιεῖς, ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος, ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ, τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

ʽΟ μῦθος δηλοῖ, ὅτι πολλάκις, ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη· ἀλλ' εἰ σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

ʽΟ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

ΑΕΤΟΣ.

ʽΥπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. Τοῦτον δέ τις ἔβαλε τοξεύσας· καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν, ἡ δὲ γλυφὴ σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ʽΟ δὲ ἰδὼν ἔφη· καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν.

ʽΟ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

Digitized by Google

ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ἤτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· διατί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν· οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον· ἀλλ' εἰ θέρους ὥραις ᾄυλεις, χειμῶνος ὀρχοῦ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Ἀλώπηξ μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἄτερος, θατέρῳ φησί· συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβὼν εἶπεν· ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

Digitized by Google

ΝΕΒΡΟΣ.

Νεβρός ποτε πρὸς τὸν ἔλαφον εἶπε· πάτερ, σὺ καὶ μείζων, καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. Τί δή ποτ᾽ οὖν οὕτω τούτους φοβῇ; Κἀκεῖνος γελῶν εἶπεν· ἀληθῆ μὲν ταῦτα φῂς, τέκνον, ἓν δ᾽ οἶδα, ὡς, ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν, οὐκ οἶδ᾽ ὅπως, ἐκφέρομαι.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

ΛΥΚΟΣ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων ἐβέβλητο. Τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραῤῥέοντος αὐτῷ ποταμοῦ κομίσαι. Εἰ γὰρ σύ μοι, φησὶ, δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. Τὸ δὲ ὑποτυχὸν ἔφη· ἀλλ᾽ ἐὰν ἐγὼ ποτὸν ἐπιθῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον, δι᾽ ὑποκρίσεως ἐνεδρεύοντα.

ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὄνος, ἐνδυσάμενος λεοντῆν, περιῄει, τἆλλα τῶν ζώων ἐκφοβῶν. Καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα) πρὸς αὐτὸν ἔφη· ἀλλ᾽ εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

Digitized by Google

ANECDOTES, &c..

THE GRASSHOPPER, OR CRICKET; (*Lat.* CICADA.)

Μακαρίζομέν σε, τέττιξ, ὅτι ἐπὶ δένδρων ἄκρων ἀείδεις ὅπως βασιλεύς. Σά ἐστι πάντα, ἃ βλέπεις ἐν ἀγροῖς, καὶ ἃ φέρουσιν αἱ ὧραι. Σὺ εἶ τίμιος τοῖς βροτοῖς, φίλος τῶν γεωργῶν, καὶ γλυκὺς προφήτης τοῦ θέρεος. Φιλοῦσί σε αἱ μοῦσαι, φιλεῖ σε Φοῖβος αὐτός. Τὸ γῆρας οὔ σε τείρει· σοφὲ καὶ φίλυμνε, σχεδὸν τοῖς θεοῖς εἶ ὅμοιος. Ἡ φύσις τοῖς ἄλλοις ζώοις ἄλλα μὲν ἔδωκε, κέρατα τοῖς ταύροις, ὁπλὰς τοῖς ἵπποις, ποδωκίαν τοῖς λαγωοῖς, τοῖς λέουσι χάσμα ὀδόντων, τοῖς ἰχθύσι τὸ νηκτὸν, τοῖς ὀρνέοις τὸ πέτεσθαι, σοὶ δὲ ἔδωκε λιγεῖαν οἴμην.

MENECRATES.

Μενεκράτει τῷ ἰατρῷ ἦν τοσοῦτος τύφος, ὥστε ἑαυτὸν ὠνόμαζε Δία. Ἀποστέλλει δέ ποτε τοιαύτην ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ. Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν. Ἀντιγράφει δὲ καὶ ὁ Φίλιππος. Φίλιππος Μενεκράτει ὑγιαίνειν. Συμβουλεύω σοι προσάγειν σε εἰς Ἀντικύραν. — Ἑστιᾷ ποτε μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ καλεῖ καὶ τοῦτον ἐπὶ τὴν θοίνην, καὶ ἰδίᾳ παρασκευάζει αὐτῷ κλίνην καὶ θυμιατήριον παρατίθησιν. Ὁ Μενεκράτης πρῶ-

Digitized by Google

τον μὲν σφόδρα χαίρει τῇ τιμῇ, ἐπεὶ δὲ κατὰ μικρὸν ὁ λιμὸς περιέρχεται αὐτῷ καὶ ἐλέγχεται, ὅτι ἐστὶν ἄνθρωπος, καὶ ταῦτα εὐήθης, οἴχεται καὶ λέγει, ὅτι ὁ Φίλιππος ὑβρίζει αὐτόν.

AGATHOCLES.

Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως, γενόμενος δὲ κύριος Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρύσεα, καὶ τοῖς νέοις λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρίαν. Ὡς ἐπολιόρκει ποτὲ πόλιν τινὰ, οἱ ἀστοὶ ἀπὸ τοῦ τείχους ἐλοιδόρουν αὐτὸν, λέγοντες· ὦ κεραμεῦ, πόθεν ἀποδώσεις τοῖς στρατιώταις τὸν μισθόν; ὁ δὲ πρᾴως καὶ μειδιῶν εἶπεν· ἀφ' ὑμῶν. Ἐπεὶ δὲ ἔλαβε τὴν πόλιν κατὰ κράτος, ἐπίπρασκε τοὺς αἰχμαλώτους, λέγων· ἐάν με πάλιν λοιδορῆτε, πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος. — Οἱ Ἰθακήσιοι ἐνεκάλουν ποτὲ τοῖς ναύταις αὐτοῦ, ὅτι τῇ νήσῳ αὐτῶν προσβαλόντες τινὰ τῶν θρεμμάτων ἀπέσπασαν· ὁ δὲ ὑμέτερος βασιλεὺς, ἔφη, ὁ πολύτροπος Ὀδυσσεὺς, ἐλθὼν πρὸς ἡμᾶς, οὐ μόνον τὰ πρόβατα ἔλαβεν, ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθε.

ALEXANDER THE GREAT.

Ἀλέξανδρος, βασιλεὺς τῶν Μακεδόνων, ἔτι παῖς ὢν, οὐκ ἔχαιρε, τοῦ Φιλίππου πολλὰ κατορθοῦντος, ἀλλὰ πρὸς τοὺς συντρεφομένους παῖδας ἔλεγεν·

Digitized by Google

ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων· Ταῦτά σοι κτᾶται· Τί δ' ὄφελος, εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν; Ἐπεὶ ἐκράτησε τῆς Ἀσίας, Δαρεῖος, ὁ βασιλεὺς τῶν Περσῶν, ἔμελλε δώσειν αὐτῷ μύρια τάλαντα καὶ τὸ ἥμισυ τῆς Ἀσίας· ἀλλ' ὁ Ἀλέξανδρος εἶπεν· οὔτε ἡ γῆ δύο ἡλίους, οὔτε ἡ Ἀσία δύο βασιλεῖς ὑπομένει. Τῶν πρώτων καὶ κρατίστων φίλων πάντων μάλιστα τιμᾷν μὲν ἐδόκει Κρατερὸν, φιλεῖν δὲ Ἡφαιστιῶνα. Κρατερὸς μὲν γὰρ, ἔφη, φιλοβασιλεύς ἐστιν, Ἡφαιστιὼν δὲ φιλαλέξανδρος. Ξενοκράτει τῷ φιλοσόφῳ ποτὲ πεντήκοντα τάλαντα ἔπεμψεν, οὗτος δὲ οὐκ ἐδέξατο, φήσας μὴ δεῖσθαι· Ἀλέξανδρος δὲ ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· ἐμοὶ μὲν γὰρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσε.

FRIENDSHIP.

Πάντων κτημάτων κράτιστόν ἐστι φίλος σαφὴς καὶ ἀγαθὸς, πολλοὶ δὲ ἄνθρωποι ἐπιμέλονται παντὸς μᾶλλον, ἢ κτήσεως φίλων. Σπουδάζουσι γὰρ ἔχειν οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα, καὶ σκεύεα, καὶ πάντα ταῦτα ἀκριβῶς σώζειν πειρῶνται. Φίλον δὲ, ὅς ἐστι μέγιστον ἀγαθὸν, οὔτε ἔχειν οὔτε σώζειν σπουδάζουσι, καίπερ οὐδὲν κτῆμα τοιόν ἐστιν, οἷος φίλος ἀγαθός. Ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμόν ἐστιν, ὥσπερ χρηστὸς φίλος; ποῖον δέ ἀνδράποδον οὕτως εὔνοον καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστόν ἐστιν; ὁ γὰρ ἀγαθὸς φίλος ἀεὶ πάρεστιν, ἀεὶ συμβοηθεῖ καὶ ἀεὶ εὐφραίνει.

Digitized by Google

Ἀλλ' ὅμως ἔνιοι πειρῶνται δένδρα μὲν θεραπεύειν τοῦ καρποῦ ἕνεκα, τοῦ φίλου δὲ, τοῦ παμφορωτάτου κτήματος, οἱ πλεῖστοι ἀργῶς καὶ ἀνειμένως ἐπιμέλονται.

THE GOLDEN AGE.

Τὸ πρῶτον γένος τῶν ἀνθρώπων ἦν χρυσοῦν, καὶ Κρόνος τότε ἐν τῷ οὐρανῷ ἐβασίλευεν. Οὗτοι οἱ ἄνθρωποι ἔζων ὡς θεοὶ ἄνευ πόνων καὶ ὀϊζύος, οὐδὲ δειλὸν γῆρας ἐπῆν· ἔθνησκον ὡς ὕπνῳ δεδμημένοι. Πάντα ἐσθλὰ τούτοις τοῖς ἀνθρώποις ἦν· ἡ γῆ ἔφερε αὐτόματος πολὺν καὶ ἄφθονον καρπόν. Τὸ δεύτερον γένος ἦν ἀργυροῦν, πολὺ χεῖρον, οὔτε κατὰ σῶμα οὔτε κατὰ νόημα τῷ χρυσέῳ ἴσον. Οἱ ἄνθρωποι τούτου τοῦ γένους οὐκ ἔτι τόσον χρόνον ἔζων, ὅσον οἱ πρῶτοι, οὐδ' ἔθελον οὕτως τιμᾶν τοὺς ἀθανάτους, ὡς ἐκεῖνοι. Μετὰ τοῦτο τὸ ἀργυροῦν γένος Ζεὺς, ὁ πατὴρ τῶν θεῶν καὶ τῶν ἀνθρώπων, ἐποίησε τρίτον ἄλλο χάλκειον, τῷ ἀργυρέῳ οὐδὲν ὅμοιον, δεινὸν καὶ ὄβριμον, ὃ ἐφίλει τοὺς πολέμους, τὰ ὅπλα καὶ τὴν βίαν. Τὸ τέταρτον γένος ἦν σιδηροῦν· οὗτοι οἱ ἄνθρωποι εἶχον χαλεπὰς μερίμνας, οὐδὲ πώποτε ἐπαύοντο καμάτου καὶ ὀϊζύος, οὔτε νυκτὸς οὔτε ἡμέρας. Ὅλον τὸ γένος τοῦτο ἦν ἀδικώτατον· ὁ πατὴρ οὐκ ἦν πιστὸς τοῖς παισὶ, οὐδὲ οἱ παῖδες τῷ πατρί· ὁ ἕτερος τοῦ ἑτέρου πόλιν ἐπόρθει, οὐδὲ χάρις ἦν οὔτε τοῦ δικαίου, οὔτε τοῦ ἀγαθοῦ, μᾶλλον δὲ τὸν κακὸν ἄνδρα ἐτίμων.

Digitized by Google

THE SPHINX.

Κρέοντος βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας· ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ εἶχε πρόσωπον μὲν γυναικὸς, στῆθος δὲ καὶ βάσιν καὶ οὖραν λέοντος, καὶ πτέρυγας ὄρνιθος. Μαθοῦσα δὲ αἰνίγματα παρὰ Μουσῶν, ἡ Σφὶγξ ἐπὶ τὸ Φικεῖον ὄρος ἐκαθέζετο, καὶ τοῦτο τὸ αἴνιγμα προύτεινε τοῖς Θηβαίοις. Τί ἐστιν, ὃ μίαν φωνὴν ἔχον, τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται; Ὁποσάκις οἱ Θηβαῖοι μὴ εὕρισκον, τί ἦν τὸ λεγόμενον, ἡ Σφὶγξ ἕνα τῶν πολιτῶν κατέφαγεν. Ἐπεὶ πολλοὺς κατέφαγε, καὶ τὸ τελευταῖον τὸν υἱὸν τοῦ Κρέοντος, ἐκήρυξε Κρέων, τῷ τὸ αἴνιγμα λύσαντι καὶ τὴν βασιλείαν καὶ τὴν τοῦ Λαΐου, τοῦ πρόσθεν βασιλέως, δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν, εἰπὼν, τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον, ἄνθρωπον εἶναι. Γεννᾶται γὰρ τετράπουν τὸ βρέφος, ὀχούμενον τοῖς τέτταρσι κώλοις· τελειούμενος δὲ ὁ ἄνθρωπός ἐστι δίπους· γέρων δὲ τρίτην βάσιν προσλαμβάνει τὸ βάκτρον. Ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔῤῥιψεν. Οἰδίπους δὲ τὴν βασιλείαν παρέλαβε, καὶ τὴν Λαΐου γυναῖκα ἔγημε.

LYCURGUS AND THE SPARTANS.

Δυκοῦργος, ὁ νομοθέτης τῶν Σπαρτιατῶν, κατέστησε πολλὰ νόμιμα ἐναντία τοῖς τῶν ἄλλων Ἑλλήνων. Ἐν γὰρ ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται, ὅσον δύνανται· ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δὲ ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται. Ἐν

Digitized by Google

δὲ τῇ Σπάρτῃ νόμος ἐστὶ τοῦ ἀπέχεσθαι παντὸς τοῦ χρηματισμοῦ· ταῦτα μόνα, ἃ ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ἔργα ἑαυτῶν οἱ Σπαρτιᾶται νομίζουσι. Καὶ δὴ οὐκ ἔστιν αἰτία τοῦ ζητεῖν τὸν πλοῦτον ἐκεῖ, ἔνθα ἡ δίαιτά ἐστι κοινὴ καὶ πάντες ὀφείλουσιν ἴσα φέρειν εἰς τὰ ἐπιτήδεια. Εἰ οἱ ἔφοροι εὑρίσκουσι χρυσίον καὶ ἀργύριον ἐν τῷ οἴκῳ τινὸς τῶν Σπαρτιατῶν, τοῦτον ζημιοῦσι. Τί οὖν ὄφελος τοῦ πλούτου ἐκεῖ, ἔνθα ἡ κτῆσις πλείονας λύπας, ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει;

Οἱ Σπαρτιᾶται μάλιστα πείθονται ταῖς ἀρχαῖς καὶ τοῖς νόμοις. Ἐν ταῖς ἄλλαις μὲν πόλεσιν οἱ δυνατώτεροι οὐ θέλουσι πείθεσθαι ταῖς ἀρχαῖς, ἀλλὰ νομίζουσι τοῦτο ἀνελεύθερον εἶναι, ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι μάλιστα τιμῶσι τὰς ἀρχὰς, νομίζοντες ὅτι, εἰ αὐτοὶ σφόδρα πείθονται, καὶ οἱ ἄλλοι τοῦτο ποιοῦσι. Καὶ δὴ τὸ πείθεσθαι μέγιστον ἀγαθόν ἐστι καὶ ἐν πόλει, καὶ ἐν στρατιᾷ, καὶ ἐν οἴκῳ. Οἱ ἔφοροι ἔχουσι μὲν τὴν μεγίστην δύναμιν ἐν Σπάρτῃ, εἰ δὲ παρανομοῦσί τι, ἡ Σπάρτη οὐκ ἐᾷ αὐτοὺς ἄρχειν τὸ ἔτος, ὥσπερ αἱ ἄλλαι πόλεις, ἀλλὰ παραχρῆμα κολάζει. Σοφόν τι καὶ τοῦτο ἦν τοῦ Λυκούργου. Οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθεῖν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς καὶ ἐπείρεσθαι τὸν θεὸν, εἰ ἀγαθὸν εἴη τῇ Σπάρτῃ τὸ πείθεσθαι τοῖς ἑαυτοῦ νόμοις. Ὁ θεὸς ἀποκρίνεται, ὅτι ἀγαθόν ἐστι τὸ πείθεσθαι, καὶ ὁ Λυκοῦργος καθίστησιν, ὅτι τὸ μὴ πείθεσθαι τοῖς ἑαυτοῦ καὶ τοῦ Ἀπόλλωνος νόμοις οὐ μόνον ἄνομον, ἀλλὰ καὶ ἀνόσιόν ἐστι.

Digitized by Google

THE CHOICE OF HERCULES.

Πρόδικος ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους ὧδέ πως λέγει. Ἐπεὶ Ἡρακλῆς ἠπόρει, ποιὰν ὁδὸν ἐπὶ τὸν βίον τράποιτο, δύο γυναῖκες μεγάλαι ἐφάνησαν αὐτῷ. Ἡ μὲν ἑτέρα ἦν εὐπρεπὴς, καὶ εἶχε κεκοσμημένα τὰ ὅμματα αἰδοῖ, τὸ σχῆμα σωφροσύνῃ, καὶ ὅλον τὸ σῶμα καθαρότητι· ἡ ἐσθὴς ἦν λευκή. Ἡ δὲ ἑτέρα ἦν ἀναιδὴς, τὰ δὲ ὅμματα εἶχεν ἀναπεπταμένα, καὶ πολλάκις ἔβλεπε πρὸς ἑαυτὴν καὶ τὴν ἑαυτῆς σκιάν. Αὕτη ἡ δευτέρα, προσδραμοῦσα τῷ Ἡρακλεῖ, εἶπεν, "Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποιὰν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Εἰ θέλεις ἐμὲ ἔχειν φίλην, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾳστην ὁδὸν ἄξω σε. Ὁ βίος σοι ἔσται τῶν μὲν τερπνῶν πλήρης, τῶν δὲ χαλεπῶν ἄπειρος." Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, "ὦ γύναι, ἔφη, τί δὲ ὄνομά σοί ἐστιν;" ἡ δὲ, "οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ ἐχθροὶ ὀνομάζουσί με Κακίαν." Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· "Καὶ ἐγὼ ἥκω πρὸς σὲ, ὦ Ἡράκλεις. Οἱ σοὶ γονεῖς εἰσιν ἀγαθοὶ, καὶ σὺ αὐτὸς ἔχεις φύσιν ἀγαθήν. Εἰ οὖν θέλεις ἀκολουθεῖν ἐμοὶ, σὺ μὲν ἔσῃ ἐργάτης ἀγαθὸς τοῦ καλοῦ καὶ σεμνοῦ, ἐγὼ δὲ ἔσομαι ἐντιμοτέρα καὶ διαπρεπεστέρα. Οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλὰ μετ' ἀληθείας λέξω. Τῶν γὰρ ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας διδοῦσι θεοὶ ἀνθρώποις. Εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον." Καὶ ἡ Κακία εἶπεν· "ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς

Digitized by Google

χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε."

Καὶ ἡ Ἀρετὴ εἶπεν, "Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις, ἢ τί ἡδύ, ἥτις μηδὲν τούτων ἕνεκα πράττειν θέλεις, μηδὲ τὴν ἐπιθυμίαν τῶν ἡδέων ἀναμένεις; πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ τὰς κλίνας, καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν, ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ σύμμαχος τῶν ἐν πολέμῳ ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς ἐμοῖς φίλοις ἡδεῖα καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις. Ὕπνος δὲ αὐτοῖς ἐστιν ἡδίων, ἢ τοῖς ἀμόχθοις. Καὶ οἱ μὲν νέοι χαίρουσι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς. Πάντες εἰσὶ δι' ἐμὲ φίλοι μὲν θεοῖς, ἀγαπητοὶ δὲ φίλοις. Ὅταν δὲ τὸ τέλος τοῦ βίου ἔλθῃ, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης ἀεὶ θάλλουσιν. Εἰ οὖν θέλεις ἐμοὶ ἀκολουθεῖν, ὦ παῖ τοκέων ἀγαθῶν, Ηράκλεις, ἔξεστί σοι τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι."

Digitized by Google

ULYSSES AND THE CYCLOPS.

Πολύφημος εἷς τῶν Κυκλώπων τῆς Σικελίας ἦν. Ὀδυσσεὺς ἐλθὼν εἰς τὴν νῆσον ὧδέ πως λέγει περὶ αὐτοῦ. Πολύφημος θαῦμα πελώριον ἦν, οὐδὲ ἐῴκει ἀνδρὶ σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι ὑψηλῶν ὀρέων. Καὶ ἐγὼ μὲν ἰδὼν αὐτὸν, τοὺς ἄλλους ἑταίρους ἐκέλευσα παρὰ νηΐ τε μένειν, καὶ αὐτὴν εἰρύσθαι, αὐτὸς δὲ, κρίνας ἑταίρων δυοκαίδεκα ἀρίστους, ἔβην, ἔχων αἴγεον ἀσκὸν μέλανος καὶ ἡδέος οἴνου. Καρπαλίμως δὲ εἰς ἄντρον αὐτοῦ ἀφικόμεθα, ἀλλ' αὐτὸν ἔνδον οὐχ εὕρομεν, ἐνόμευε γὰρ κατὰ νομὸν τὰ πίονα μῆλα. Ἡμεῖς δὲ ἐλθόντες εἰς τὸ ἄντρον ἐθεώμεθα ἕκαστα. Ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, Πολύφημος ἐλθὼν τὰ μῆλα ἤλασεν εἰς τὸ ἄντρον πάντα, ὅσα ἤμελγε, τὰ ἄρσενα δὲ ἔλειπε πρὸ τῆς θύρας ἐκτὸς βαθείας αὐλῆς· ἑζόμενος δ' ἤμελγεν ὅϊς καὶ αἶγας, πάντα κατὰ μοῖραν, καὶ τότε πῦρ ἀνέκαιε, καὶ ἡμᾶς εἰσιδὼν εἴρετο· "ὦ ξένοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;"

Ὡς ἔφαθ'· ἡμῖν δὲ κατεκλάσθη τὸ ἦτορ, ἐδείσαμεν γὰρ φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον. Καὶ ἐγὼ μὲν σῦτως εἶπον πρὸς αὐτόν. "Ἡμεῖς ἐσμεν Ἀχαιοὶ καὶ ἐκ Τροίας ἀποπλεύσαντες δεῦρο ἤλθομεν. Νῦν δέ ἐσμεν ἱκέται· αἰδοῦ, φέριστε, θεοὺς, Ζεὺς γάρ ἐστιν ἐπιτιμήτωρ ἱκετῶν τε καὶ ξένων." Ὡς ἐφάμην· ὁ δέ με νηλεῖ θυμῷ ἠμείβετο· "νήπιος εἶς, ὦ ξένε, ἢ τηλόθεν ἐλήλυθας, ὅς με κελεύεις θεοὺς δείδειν· οὐ γὰρ Κύκλωπες Διὸς ἀλέγουσιν, οὐδὲ θεῶν μακάρων, ἐπεὶ πολὺ φέρτεροί ἐσμεν." Ὡς εἰπὼν δύο ἑταίρους συλλα-

Digitized by Google

βὼν, ὥστε σκύλακας, πρὸς γῆν ἔβαλε, καὶ διαμελεϊστὶ ταμὼν ὡπλίσατο δόρπον· ἤσθιε δὲ, ὥστε λέων ὀρεσίτροφος, οὐδ' ἀπέλειπε ἔγκατά τε, σάρκας τε καὶ ὀστέα μυελόεντα. Ἡμεῖς δὲ, σχέτλια ἔργα ὁρῶντες, ἐκλαίομεν.

Ἐπεὶ δὲ ἡ ἠὼς ἐφάνη, ὁ Κύκλωψ πῦρ ἀνέκαιε καὶ ἤμελγε τὰ μῆλα, πάντα κατὰ μοῖραν, καὶ τότε αὖθις συλλαβὼν δύο ἑταίρους ὡπλίσατο δεῖπνον, δειπνήσας δὲ τὰ μῆλα ἐξ ἄντρου ἤλασεν. Αὐτὰρ ἐγὼ ἐλείφθην κακὰ βυσσοδομεύων, ἥδε δὲ βουλή μοι ἀρίστη ἐφαίνετο. Κύκλωπος μέγα ῥόπαλον ἔκειτο παρὰ σηκῷ, ἀπὸ τούτου ἐγὼ ἔκοψα ὅσον ὀργυιὰν, καὶ τοὺς ἑταίρους ἀποξῦναι ἐκέλευσα. Οἱ δὲ ὁμαλὸν ἐποίησαν, ἐγὼ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κηλέῳ, καὶ τότε κατέκρυψα ὑπὸ κόπρῳ. Πρὸς ἑσπέραν δὲ ἐλθὼν ὁ Κύκλωψ ἤλασε τὰ μῆλα εἰς τὸ ἄντρον πάντα, οὐδέ τι ἔλειπεν ἐκτὸς βαθείας αὐλῆς· ἐζόμενος δὲ ἤμελγεν ὅϊς καὶ αἶγας, πάντα κατὰ μοῖραν. Καὶ τότε αὖθις δύο ἑταίρους συλλαβὼν ὡπλίσατο δόρπον. Καὶ ἐγὼ μὲν πρὸς τὸν Κύκλωπα ἔλεγον, κισσύβιον μέλανος οἴνου ἐν χερσὶν ἔχων.

"Κύκλωψ, πίνε οἶνον, ἐπεὶ ἔφαγες ἀνδρόμεα κρέατα· σὺ μαίνῃ οὐκ ἔτι ἀνεκτῶς· σχέτλιε, πῶς ἄν τις ἄλλος ἀνθρώπων ὕστερον πρός σε ἵκοιτο, ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας;" Ὡς ἐφάμην· ὁ δὲ ἐξέπιεν, ἥσθη δὲ δεινῶς, ἡδὺ ποτὸν πίνων· καὶ μ' ἤτει δεύτερον αὖθις. "Δός μοι ἔτι πρόφρων, καί μοί σου ὄνομα εἰπὲ αὐτίκα νῦν, ἵνα σοι δῶ ξένιον·" ὣς ἔφατο· ἐγὼ δὲ αὖθις ἔπορον αὐτῷ αἴθοπα οἶνον· τρὶς μὲν ἔδωκα, τρὶς δὲ αὐτὸς ἐξέπιε. Καὶ τότε πρὸς τὸν Κύκλωπα

Digitized by Google

ἔλεγον. "Κύκλωψ, ἐρωτᾷς τὸ ὄνομά μου; Οὖτις ἔμοιγε ὄνομά ἐστιν. Οὖτινά με καλοῦσιν ἡ μήτηρ καὶ πατὴρ καὶ πάντες οἱ ἄλλοι ἑταῖροι." Ὡς ἐφάμην· ὁ δέ με ἠμείβετο νηλεῖ θυμῷ· "Οὖτινα ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑταίροις, τοὺς δ' ἑταίρους πρόσθεν· τόδε σοι ξένιον ἔσται." Ἔφη, καὶ ἀνακλινθεὶς ἔπεσεν ὕπτιος.

Αὐτὰρ ἐπεὶ ὁ ὕπνος αὐτὸν ἦρει, ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ πολλῆς ἤλασα, ἕως θερμαίνοιτο, καὶ τότε σὺν ἑταίροις τῷ ὀφθαλμῷ τοῦ Κύκλωπος ἐνέρεισα· ὁ δὲ σμερδαλέον ὤμωξε, καὶ τὸν μοχλὸν ὀφθαλμοῦ ἐξέρυσεν. Ἔπειτα μεγάλῃ φωνῇ τοὺς Κύκλωπας ἐκάλει· οἱ δὲ ἐφοίτων ἄλλοθεν ἄλλος καὶ εἴροντο· "Τίποτε, Πολύφημε, τόσον ἐβόησας; ἦ μή τις βροτῶν τὰ μῆλά σου ἀπελαύνει, ἢ μή τίς σε αὐτὸν κτείνει δόλῳ, ἢ βίᾳ;" Ὁ δὲ Πολύφημος ἐξ ἄντρου ἔφη· "Ὦ φίλοι, Οὖτις με κτείνει δόλῳ, οὐδὲ βίᾳ." Οἱ δ' εἶπον· "εἰ μὲν μήτις σε βιάζεται, νόσος σοί ἐστι, τὰς δὲ νόσους οὐκ ἔξεστι τοῖς βροτοῖς φεύγειν, εὔχου οὖν τῷ πατρὶ Ποσειδῶνι." Ὡς ἔφασαν ἀπιόντες, ἐγὼ δὲ ἐγέλασα, ὡς τὸ ἐμὸν ὄνομα ἐξηπάτησε τὸν Κύκλωπα. Ἔπειτα οἱ κριοὶ Πολυφήμου ἐμὲ καὶ τοὺς ἐμοὺς ἑταίρους ἔφερον ἐκ τοῦ ἄντρου.

Digitized by Google

EXTRACTS

FROM

XENOPHON'S ANABASIS,

Book I.

Birth and Parentage of Cyrus. Illness of Darius. Cyrus is sent for by him.

Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο· πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος, καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύχχανε· Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησε. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσαφέρνην ὡς φίλον· καὶ τῶν Ἑλλήνων δὲ ἔχων ὁπλίτας ἀνέβη τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παρράσιον.

Death of Darius. Danger of Cyrus, from the false charges of Tissaphernes. His animosity against his brother.

Ἐπειδὴ δὲ ἐτελεύτησε Δαρεῖος, καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ

Digitized by Google

δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ, ἐξαιτησαμένη αὐτὸν, ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δ' ὡς ἀπῆλθε, κινδυνεύσας καὶ ἀτιμασθεὶς, βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον, ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην.

Policy of Cyrus. Secret preparations for war.

Ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτὸν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ εἶησαν, καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν, ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευαστότατον λάβοι βασιλέα.

The Ionian cities revolt to Cyrus, except Miletus.

Ὅτε οὖν ἐποιεῖτο τὴν συλλογὴν, ὁπόσους εἶχε φύλακας ἐν ταῖς πόλεσι, παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις, λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. Καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι· τότε δ' ἀπέστησαν πρὸς Κῦρον πᾶσαι, πλὴν Μιλήτου. Ἐν Μιλήτῳ δ' ὁ Τισσαφέρνης, προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν.

Digitized by Google

Siege of Miletus. The suspicions of the king are lulled.

Ὁ δὲ Κῦρος, ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. Αὕτη οὖν ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. Πρὸς δὲ βασιλέα πέμπων, ἠξίου, ἀδελφὸς ὢν αὐτοῦ, δοθῆναί οἱ ταύτας τὰς πόλεις μᾶλλον, ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν· καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα, ὥστε βασιλεὺς τῆς μὲν πρὸς ἑαυτὸν ἐπιβουλῆς οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾷν· ὥστε οὐδὲν ἧχθετο αὐτῶν πολεμούντων.

Cyrus commences his march. Tissaphernes gives intimation to the king.

Ἐπεὶ δ' ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς Πεισίδας βουλόμενος ἐκβαλεῖν παντάπᾶσιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικὸν ἐνταῦθα στράτευμα. Τισσαφέρνης δὲ, κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πεισίδας τὴν παρασκευὴν, πορεύεται ὡς βασιλέα, ᾗ ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ βασιλεὺς μὲν δὴ, ἐπεὶ ἤκουσε παρὰ Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο. Κῦρος δὲ, ἔχων οὓς εἶπον, ὥρμᾶτο ἀπὸ Σάρδεων, καὶ ἤλασεν εἰς Ταρσούς.

Digitized by Google

Cyrus arrives at Tarsus. Refusal of the soldiers to proceed. Conduct of Clearchus.

Ἐνταῦθ' ἔμεινε Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν· οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω· ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι· μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν. Πρῶτος δὲ Κλέαρχος τοὺς αὑτοῦ στρατιώτας ἐβιάζετο ἰέναι· οἱ δὲ αὐτόν τε ἔβαλλον, καὶ τὰ ὑποζύγια τὰ ἐκείνου, ἐπεὶ ἤρξατο προϊέναι. Κλέαρχος δὲ τότε μὲν μικρὸν ἐξέφυγε τοῦ μὴ καταπετρωθῆναι· ὕστερον δὲ, ἐπεὶ ἔγνω, ὅτι οὐ δυνήσεται βιάσασθαι, συνήγαγεν ἐκκλησίαν τῶν αὑτοῦ στρατιωτῶν· καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς· (οἱ δὲ ὁρῶντες ἐθαύμαζον καὶ ἐσιώπων) εἶτα ἔλεξε τοιάδε.

Speech of Clearchus to his forces.

"Ἄνδρες στρατιῶται, μὴ θαυμάζετε, ὅτι χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασιν. Ἐμοὶ γὰο Κῦρος ξένος ἐγένετο, καί με, φεύγοντα ἐκ τῆς πατρίδος, τά τε ἄλλα ἐτίμησε, καὶ μυρίους ἔδωκε δαρεικούς· οὓς ἐγὼ λαβὼν, οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ, ἀλλ' οὐδὲ καθηδυπάθησα, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. Ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς ἐπορευόμην, ἵνα, εἴ τι δέοιτο, ὠφελοίην αὐτὸν, ἀνθ' ὧν εὖ ἔπαθον ὑπ' ἐκείνου. Ἐπεὶ δὲ ὑμεῖς οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δή μοι, ἢ ὑμᾶς προδόντα τῇ Κύρου φιλίᾳ

Digitized by Google

χρῆσθαι, ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν ἰέναι. Εἰ μὲν δὴ δίκαια ποιήσω, οὐκ οἶδα· αἱρήσομαι δ' οὖν ὑμᾶς, καὶ σὺν ὑμῖν, ὅ τι ἂν δέῃ, πείσομαι. Καὶ οὔποτ' ἐρεῖ οὐδείς, ὡς ἐγὼ Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβάρους, προδοὺς τοὺς Ἕλληνας, τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην. Ἀλλὰ, ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι, οὐδὲ ἕπεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι, καὶ, ὅ τι ἂν δέῃ, πείσομαι. Νομίζω γὰρ, ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα καὶ φίλους καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν εἶναι τίμιος, ὅπου ἂν ὦ· ὑμῶν δ' ἐρημωθεὶς, οὐκ ἂν ἱκανὸς εἶναι οἶμαι, οὔτ' ἂν φίλον ὠφελῆσαι, οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι. Ὡς ἐμοῦ οὖν ἰόντος, ὅπη ἂν καὶ ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε."

Effect of this speech on the soldiers. Secret understanding with Cyrus. Clearchus summons them again.

Ταῦτα εἶπεν· οἱ δὲ στρατιῶται, οἵ τε αὐτοῦ ἐκείνου, καὶ οἱ ἄλλοι, ταῦτα ἀκούσαντες, ὅτι οὐ φαίη παρὰ βασιλέα πορεύεσθαι, ἐπῄνεσαν· παρὰ δὲ Ξενίου καὶ Πασίωνος πλείους, ἢ δισχίλιοι, λαβόντες τὰ ὅπλα καὶ τὰ σκευοφόρα, ἐστρατοπεδεύσαντο παρὰ Κλεάρχῳ. Κῦρος δὲ, τούτοις ἀπορῶν τε καὶ λυπούμενος, μετεπέμπετο τὸν Κλέαρχον· ὁ δ' ἰέναι μὲν οὐκ ἤθελε, λάθρᾳ δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον, ἔλεγε θαῤῥεῖν, ὡς καταστησομένων τούτων εἰς τὸ δέον. Μετὰ δὲ ταῦτα συναγαγὼν τοὺς μεθ' ἑαυτοῦ στρατιώτας καὶ τοὺς προσελθόντας αὐτῷ καὶ τῶν ἄλλων τὸν βουλόμενον, ἔλεξε τοιάδε.

Digitized by Google

Second speech of Clearchus.

"Ἄνδρες στρατιῶται, τὰ μὲν δὴ Κύρου δῆλον ὅτι οὕτως ἔχει πρὸς ἡμᾶς, ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον· οὔτε γὰρ ἡμεῖς ἔτι ἐκείνου στρατιῶται, (ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ) οὔτε ἐκεῖνος ἡμῖν ἔτι μισθοδότης. Ὅτι μέντοι ἀδικεῖσθαι νομίζει ὑφ' ἡμῶν, οἶδα· ὥστε καὶ, μεταπεμπομένου αὐτοῦ, οὐκ ἐθέλω ἐλθεῖν· τὸ μὲν μέγιστον, αἰσχυνόμενος, ὅτι σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν· ἔπειτα δὲ καὶ δεδιὼς, μὴ, λαβών με, δίκην ἐπιθῇ, ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν, οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν, ἀλλὰ βουλεύεσθαι, ὅ τι χρὴ ποιεῖν ἐκ τούτων. Καὶ εἴτε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ἀσφαλέστατα μενοῦμεν· εἴτε δὴ δοκεῖ ἀπιέναι, ὅπως ὡς ἀσφαλέστατα ἄπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν· ἄνευ γὰρ τούτων οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. Ὁ δὲ ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ· χαλεπώτατος δ' ἐχθρὸς, ᾧ ἂν πολέμιος ᾖ. Ἔτι δὲ δύναμιν ἔχει καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικὴν, ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα· καὶ γὰρ οὐδὲ πόῤῥω δοκοῦμέν μοι αὐτοῦ καθέζεσθαι· ὥστε ὥρα λέγειν, ὅ τι τις γιγνώσκει ἄριστον εἶναι." Ταῦτ' εἰπὼν, ἐπαύσατο.

Opinions stated by persons principally in the confidence of Clearchus.

Ἐκ δὲ τούτου ἀνίσταντο, οἱ μὲν ἐκ τοῦ αὐτομάτου, λέξοντες, ἃ ἐγίγνωσκον· οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι, ἐπιδεικνύντες, οἵα εἴη ἡ ἀπορία, ἄνευ τῆς

Digitized by Google

Κύρου γνώμης καὶ μένειν καὶ ἀπιέναι. Εἰς δὲ δὴ εἶπε, προσποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλλάδα, στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν· τὰ δ' ἐπιτήδεια ἀγοράζεσθαι, (ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι) καὶ συσκευάζεσθαι· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον, ὅστις ὡς διὰ φιλίας τῆς χώρας ἀπάξει· ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι τὴν ταχίστην· πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ φθάσουσι μήτε ὁ Κῦρος, μήτε οἱ Κίλικες καταλαβόντες, "ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἠρπακότες."

Clearchus declines the command.

Οὗτος μὲν δὴ τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος εἶπε τοσοῦτον· "Ὡς μὲν στρατηγήσοντα ἐμὲ ταύτην τὴν στρατηγίαν, μηδεὶς ὑμῶν λεγέτω· (πολλὰ γὰρ ἐνορῶ, δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον·) ὡς δὲ τῷ ἀνδρὶ, ὃν ἂν ἕλησθε, πείσομαι ἥ δυνατὸν μάλιστα· ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι, ὥς τις καὶ ἄλλος μάλιστα ἀνθρώπων."

The perplexities of their situation are pointed out more strongly by another speaker, who proposes to send a deputation to Cyrus.

Μετὰ δὲ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς μὲν τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ πάλιν

Digitized by Google

τὸν στόλον Κύρου μὴ ποιουμένου· ἐπιδεικνὺς δὲ, ὡς εὔηθες εἴη, ἡγεμόνα αἰτεῖν παρὰ τούτου, " ᾧ λυμαινόμεθα τὴν πρᾶξιν. Εἰ δέ τι καὶ τῷ ἡγεμόνι πιστεύσομεν, ᾧ ἂν Κῦρος δῷ, τί κωλύει, καὶ τὰ ἄκρα ὑμῖν κελεύειν Κῦρον προκαταλαμβάνειν; Ἐγὼ γὰρ ὀκνοίην μὲν ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ ἡμῖν δοίη, μὴ ἡμᾶς αὐταῖς ταῖς τριήρεσι καταδύσῃ· φοβοίμην δ' ἂν τῷ ἡγεμόνι, ᾧ ἂν δοίη, ἕπεσθαι, μὴ ἡμᾶς ἀγάγοι, ὅθεν οὐχ οἷόν τε ἔσται ἐξελθεῖν· βουλοίμην δ' ἂν, ἄκοντος ἀπιὼν Κύρου, λαθεῖν αὐτὸν ἀπελθών· ὃ οὐ δυνατόν ἐστιν. Ἀλλ' ἔγωγε φημὶ, ταῦτα μὲν φλυαρίας εἶναι· δοκεῖ δέ μοι, ἄνδρας ἐλθόντας πρὸς Κῦρον, οἵτινες ἐπιτήδειοι, σὺν Κλεάρχῳ, ἐρωτᾷν ἐκεῖνον, τί βούλεται ἡμῖν χρήσασθαι."

This proposal is accepted; Cyrus returns an evasive answer; they agree to follow him; he promises to increase their pay.

Ἔδοξε ταῦτα, καὶ ἄνδρας ἑλόμενοι σὺν Κλεάρχῳ πέμπουσιν, οἳ ἠρώτων Κῦρον τὰ δόξαντα τῇ στρατιᾷ. Ὁ δ' ἀπεκρίνατο, ὅτι ἀκούοι Ἀβροκόμαν, ἐχθρὸν ἄνδρα, ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς· πρὸς τοῦτον οὖν ἔφη βούλεσθαι ἐλθεῖν· κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρῄζειν ἐπιθεῖναι αὐτῷ· ἢν δὲ φεύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. Ἀκούσαντες δὲ ταῦτα οἱ αἱρετοὶ, ἀναγγέλλουσι τοῖς στρατιώταις· τοῖς δὲ ὑποψία μὲν ἦν, ὅτι ἄγει πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. Προσαιτοῦσι δὲ μισθὸν ὁ Κῦρος ὑπισχνεῖται ἡμιόλιον πᾶσι δώσειν, οὗ πρότερον ἔφερον, ἀντὶ δαρεικοῦ τρία

Digitized by Google

ἡμιδαρεικὰ τοῦ μηνὸς τῷ στρατιώτῃ· ὅτι δ' ἐπὶ βασιλέα ἄγοι, οὐδ' ἐνταῦθ' ἤκουεν οὐδεὶς ἔν γε τῷ φανερῷ.

Cyrus reaches the Euphrates; announces to the Grecian generals the object of the expedition; they make it known to the soldiers, who clamour for their pay.

Ἐντεῦθεν ἐξελαύνει ἐπὶ τὸν Εὐφράτην ποταμὸν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων, Θάψακος ὀνόματι. Ἐνταῦθα ἔμειναν ἡμέρας πέντε· καὶ Κῦρος, μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἔλεγεν, ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν, εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις, καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ δὲ ποιήσαντες ἐκκλησίαν, ἀπήγγελλον ταῦτα· οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν, αὐτοὺς πάλαι ταῦτα εἰδότας κρύπτειν· καὶ οὐκ ἔφασαν ἰέναι, ἂν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ καὶ τοῖς πρότερον μετὰ Κύρου ἀναβᾶσι παρὰ τὸν πατέρα τοῦ Κύρου.

Cyrus promises them ample pay. Policy of Menon.

Ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγγελλον· ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὰν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ, μέχρις ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν·

Digitized by Google

Τὸ μὲν δὴ πολὺ Ἑλληνικοῦ οὕτως ἐπείσθη. Μένων δὲ, πρὶν δῆλον εἶναι, τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον ἕψονται Κύρῳ, ἢ οὔ, συνέλεξε τὸ αὑτοῦ στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε·

Speech of Menon.

"Ἄνδρες, ἐὰν ἐμοὶ πεισθῆτε, οὔτε κινδυνεύσαντες, οὔτε πονήσαντες, τῶν ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν ὑπὸ Κύρου. Τί οὖν κελεύω ποιῆσαι; Νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ οὖν φημὶ, ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν, πρὶν δῆλον εἶναι, ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ. Ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι εἶναι, ἄρξαντες τοῦ διαβαίνειν· καὶ ὡς προθυμοτάτοις ὑμῖν οὖσι χάριν εἴσεται Κῦρος καὶ ἀποδώσει· (ἐπίσταται δ', εἴ τις καὶ ἄλλος·) ἢν δ' ἀποψηφίσωνται οἱ ἄλλοι, ἄπιμεν μὲν πάντες εἰς τοὔμπαλιν· ὑμῖν δ', ὡς μόνοις πειθομένοις, πιστοτάτοις χρήσεται καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας· καὶ ἄλλου οὑτινος ἂν δέησθε, οἶδα, ὅτι ὡς φίλοι τεύξεσθε Κύρου."

The soldiers of Menon agree to follow Cyrus, and cross the river first. Cyrus expresses his satisfaction.

Ἀκούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν, πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δὲ ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε, καὶ τῷ στρατεύματι πέμψας

Digitized by Google

Γλοῦν, εἶπεν· "Ἐγὼ μὲν, ὦ ἄνδρες, ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσητε, ἐμοὶ μελήσει· ἢ μηκέτι με Κῦρον νομίζετε." Οἱ μὲν δὴ στρατιῶται, ἐν ἐλπίσι μεγάλαις ὄντες, εὔχοντο αὐτὸν εὐτυχῆσαι· Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῆ.

The Euphrates is crossed by Cyrus and his army with ease, which is interpreted as a favourable omen.

Ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν· καὶ τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μασθῶν ὑπὸ τοῦ ποταμοῦ. Οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐ πώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλὰ πλοίοις· ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. Ἐδόκει δὲ θεῖον εἶναι, καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ ὡς βασιλεύσοντι.

Cyrus prosecutes his march with the utmost speed. Weakness of the king's dominions.

Τὸ δὲ σύμπαν, δῆλος ἦν Κῦρος σπεύδων πᾶσαν τὴν ὁδὸν, καὶ οὐ διατρίβων, ὅπου μὴ ἐπισιτισμοῦ ἕνεκα ἢ τινὸς ἄλλου ἀναγκαίου ἐκαθέζετο· νομίζων, ὅσῳ μὲν ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μαχεῖσθαι· ὅσῳ δὲ σχολαιότερον, τοσούτῳ πλέον βασιλεῖ συναγείρεσθαι στράτευμα. Καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν ἡ βασιλέως ἀρχὴ, πλήθει

Digitized by Google

μὲν χώρας καὶ ἀνθρώπων ἰσχῡρὰ οὖσα, τῷ δὲ μήκει τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι τὰς δυνάμεις ἀσθενὴς, εἴ τις διὰ ταχέων τὸν πόλεμον ποιοῖτο.

Proposal of Orontes to check the ravages of the enemy; is trusted by Cyrus with a force for this purpose.

Ἐντεῦθεν προϊόντων, ἐφαίνετο ἴχνη ἵππων καὶ κόπρος· εἰκάζετο δὲ εἶναι ὁ στίβος ὡς δισχιλίων ἵππων. Οὗτοι προϊόντες ἕκαιον καὶ χιλὸν, καὶ εἴ τι ἄλλο χρήσιμον ἦν. Ὁρόντης δὲ, Πέρσης ἀνὴρ, γένει τε προσήκων βασιλεῖ, καὶ τὰ πολεμικὰ λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν, ἐπιβουλεύει Κύρῳ, καὶ πρόσθεν πολεμήσας. Καταλλαγεὶς δὲ οὗτος Κύρῳ, εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακαίνοι ἂν ἐνεδρεύσας, ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι, καὶ κωλύσειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν, ὥστε μήποτε δύνασθαι αὐτοὺς, ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ διαγγεῖλαι. Τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέλιμα εἶναι· καὶ ἐκέλευεν αὐτὸν λαμβάνειν μέρος παρ' ἑκάστου τῶν ἡγεμόνων.

The Treachery of Orontes is discovered; he is seized, and the generals are convened.

Ὁ δὲ Ὁρόντης, νομίσας ἑτοίμους αὐτῷ εἶναι τοὺς ἱππέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων ἱππέας ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι

Digitized by Google

τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν, ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. Ἐνῆν δ' ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. Ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρὶ, ὡς ᾤετο· ὁ δὲ λαβὼν, Κύρῳ δείκνῦσιν. Ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος, συλλαμβάνει Ὀρόντην, καὶ συγκαλεῖ εἰς τὴν αὑτοῦ σκηνὴν Περσῶν τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά· καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευεν ὁπλίτας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὑτοῦ σκηνήν.

The opinion of Clearchus is first taken by Cyrus, who decides that Orontes is worthy of death, in which the rest concur.

Ὁ δὲ Κῦρος εἶπε τοῖς παροῦσιν· "Ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τί σοι δοκεῖ." Κλέαρχος δὲ εἶπε τάδε· "Συμβουλεύω ἐγὼ, τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα· ὡς μηκέτι δέοι τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ [εἴη] ἡμῖν, τὸ κατὰ τοῦτον εἶναι, τοὺς ἐθελοντὰς φίλους τούτους εὖ ποιεῖν." Ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς ἄλλους προσθέσθαι.

Orontes is led to execution; respect paid to his rank; manner of his death unknown.

Μετὰ ταῦτα, κελεύοντος Κύρου, ἐλάβοντο τῆς ζώνης τὸν Ὀρόντην ἐπὶ θανάτῳ ἅπαντες ἀναστάντες καὶ οἱ

Digitized by Google

συγγενεῖς· εἶτα δὲ ἐξῆγον αὐτὸν, οἷς προσετάχθη. Ἐπεὶ δὲ εἶδον αὐτὸν, οἵπερ πρόσθεν προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες, ὅτι ἐπὶ θανάτῳ ἄγοιτο. Ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτα σκηνὴν εἰσήχθη, τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόντην, οὔτε τεθνεῶτα οὐδεὶς πώποτε εἶδεν, οὐδ' ὅπως ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν· εἴκαζον δ' ἄλλοι ἄλλως· τάφος δ' οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη.

Cyrus reviews his forces, and arranges the order of battle, in expectation of soon meeting the king; consults the Grecian generals as to what was expedient to be done.

Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς. Ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας· (ἐδόκει γὰρ, εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρατεύματι μαχούμενον·) καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν τοῦ εὐωνύμου· αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταττε. Μετὰ δὲ τὴν ἐξέτασιν ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ αὐτόμολοι παρὰ μεγάλου βασιλέως ἥκοντες ἀπήγγελλον Κύρῳ περὶ τῆς βασιλέως στρατιᾶς. Κῦρος δὲ, συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχᾱγοὺς τῶν Ἑλλήνων, συνεβουλεύετό τε, πῶς ἂν τὴν μάχην ποιοῖτο.

Digitized by Google

Advice of the generals to Cyrus not to expose himself in the engagement. Amount of the forces on both sides.

Παρεκελεύοντο δ' αὐτῷ πάντες, ὅσοιπερ διελέγοντο, μὴ μάχεσθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. Ἐν δὲ τῷ καίρῳ τούτῳ Κλέαρχος ὧδέ πως ἤρετο Κῦρον· "Οἶει γάρ σοι, ὦ Κῦρε, μαχεῖσθαι τὸν ἀδελφόν;" "Νὴ Δί'," ἔφη ὁ Κῦρος, "εἴπερ γε Δαρείου καὶ Παρυσάτιδός ἐστι παῖς, καὶ ἐμὸς ἀδελφὸς, οὐκ ἀμαχεὶ ταῦτα ἐγὼ λήψομαι."

Ἐνταῦθα δὴ ἐν τῇ ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλήνων ἀσπὶς μυρία καὶ τετρακοσία· πελτασταὶ δὲ δισχίλιοι καὶ τετρακόσιοι· τῶν δὲ μετὰ Κύρου βαρβάρων δέκα μυριάδες, καὶ ἅρματα δρεπανηφόρα ἀμφὶ τὰ εἴκοσι. Τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴκοσι μυριάδες, καὶ ἅρματα δρεπανηφόρα διακόσια. Ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρχεν· οὗτοι δὲ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν.

Unexpected announcement of the approach of the king; and consequent alarm.

Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν, καὶ πλησίον ἦν ὁ σταθμὸς, ἔνθα ἔμελλε καταλύσειν, ἡνίκα Παταγύας, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν, προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ· καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς

Digitized by Google

καὶ Ἑλληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται, ὡς εἰς μάχην παρεσκευασμένος. Ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ πάντες δὲ, ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι.

Disposition of the Grecian forces.

Καὶ Κῦρός τε καταπηδήσας ἐκ τοῦ ἅρματος τὸν θώρᾶκα ἐνέδυτο, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ εἰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι, καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρᾶτος ἔχων, πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος· οἱ δ' ἄλλοι μετὰ τοῦτον. Μένων δὲ καὶ τὸ στράτευμα τὸ εὐώνυμον κέρας εἶχε τοῦ Ἑλληνικοῦ.

Arrangement of the Barbarians; position of Cyrus; description of his armour.

Τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον ἔστασαν ἐν τῷ δεξιῷ, καὶ τὸ Ἑλληνικὸν πελταστικόν· ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν. Κῦρος δὲ καὶ ἱππεῖς μετ' αὐτοῦ ἑξακόσιοι κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μεγάλοις καὶ παραμηριδίοις καὶ κράνεσι πάντες, πλὴν Κύρου. Κῦρος δὲ, ψιλὴν ἔχων τὴν κεφαλὴν, εἰς τὴν μάχην καθίστατο. Λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ

Digitized by Google

πολέμῳ διακινδυνεύειν. Οἱ δ' ἵπποι ἅπαντες, οἱ μετὰ Κύρου, εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

Appearance of the king's forces.

Καὶ ἤδη τε ἦν μέσον ἡμέρας, καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἠνίκα δὲ δείλη ἐγένετο, ἐφάνη κονιορτὸς, [ὥσπερ νεφέλη λευκὴ, χρόνῳ δὲ οὐ συχνῷ ὕστερον, ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπιπολύ. Ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε, καὶ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. Καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρᾱκες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· (Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν.) ἐχόμενοι δὲ τούτων, γερροφόροι· ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν (Αἰγύπτιοι δὲ οὗτοι ἐλέγοντο εἶναι)· ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται.

Directions of Cyrus to Clearchus.

Καὶ ἐν τούτῳ Κῦρος, παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι, τῷ Κλεάρχῳ ἐβόα, ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· "κἂν τοῦτο," ἔφη "νικῶμεν, πάνθ' ἡμῖν πεποίηται." Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στίφος, καὶ ἀκούων Κύρου ἔξω ὄντα τοῦ Ἑλληνικοῦ εὐωνύμου βασιλέα, (τοσούτῳ γὰρ πλήθει περιῆν βασιλεὺς, ὥστε μέσον τὸ ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου ἔξω ἦν,) ἀλλ' ὅμως ὁ Κλέαρχος

Digitized by Google

οὐκ ἤθελεν ἀποσπᾶσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος, μὴ κυκλωθείη ἑκατέρωθεν· τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι.

Gradual advance of the king's army; Cyrus, reconnoitring both armies, is accosted by Xenophon.

Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει· τὸ δ' Ἑλληνικὸν, ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι, κατεθεᾶτο ἑκατέρους ἄποθεν, τούς τε πολεμίους ἀποβλέπων τούς τε φιλίους. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, ὑπελάσας ὡς συναντῆσαι, ἤρετο, εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας εἶπε, καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι τὰ ἱερὰ καὶ τὰ σφάγια καλὰ εἴη.

Cyrus receives the announcement of the watchword as a favorable omen.

Ταῦτα δὲ λέγων, θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο, τίς ὁ θόρυβος. Ὁ δὲ Ξενοφῶν εἶπεν, ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο, ὅ τι καὶ εἴη τὸ σύνθημα. Ὁ δὲ ἀπεκρίνατο, ὅτι ΖΕΥΣ ΣΩΤΗΡ ΚΑΙ ΝΙΚΗ. Ὁ δὲ Κῦρος ἀκούσας, "ἀλλὰ δέχομαί τε," ἔφη, "καὶ τοῦτο ἔστω."

Digitized by Google

Commencement of the battle by the Greeks.

Ταῦτα δὲ εἰπὼν, εἰς τὴν ἑαυτοῦ χώραν ἀπήλαυνε, καὶ οὐκ ἔτι τρία ἢ τέτταρα στάδια ἀπειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες, καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ἐπιλειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷόν περ τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. Λέγουσι δέ τινες, ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν, φόβον ποιοῦντες τοῖς ἵπποις.

Flight of the barbarians.

Πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι τοῖς ἵπποις καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις, μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. Τὰ δὲ ἅρματα ἐφέρετο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων, κενὰ ἡνιόχων. Οἱ δὲ, ἐπεὶ προΐδοιεν, διίσταντο· ἔστι δ' ὅστις καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ, ἐκπλαγείς· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν· οὐδὲ ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδὲν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

Cyrus watches the motions of the king.

Κῦρος δὲ, ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη

Digitized by Google

ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτὸν, οὐδ' ὡς ἐξήχθη διώκειν· ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν, ἐπεμελεῖτο, ὅ τι ποιήσει βασιλεύς. Καὶ γὰρ ᾔδει αὐτὸν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος. Καὶ πάντες δὲ οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὐτῶν ἡγοῦντο· νομίζοντες, οὕτως καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν ᾖ, καὶ, εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἐν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα.

He makes a charge with a band of six hundred, and routs six thousand of the enemy.

Καὶ βασιλεὺς δὴ τότε, μέσον ἔχων τῆς ἑαυτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. Ἐπεὶ δὲ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἐναντίου, οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν, ὡς εἰς κύκλωσιν. Ἔνθα δὴ Κῦρος δείσας, μὴ ὄπισθεν γενόμενος κατακόψῃ τὸ Ἑλληνικὸν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις, νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους, καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους· καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην, τὸν ἄρχοντα αὐτῶν.

Seeing the king, he rushes impetuously on him, and wounds him; but is killed by a dart from an unknown hand.

Ὡς δὲ ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι, εἰς τὸ διώκειν ὁρμήσαντες· πλὴν πάνυ ὀλί-

Digitized by Google

γοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. Σὺν τούτοις δὲ ὢν, καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στίφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν, "Ὁρῶ τὸν ἄνδρα," ἵετο ἐπ' αὐτόν· καὶ παίει κατὰ τὸ στέρνον, καὶ τιτρώσκει διὰ τοῦ θώρᾱκος, ὡς φησὶ Κτησίας ὁ ἰᾱτρὸς, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ Κῦρος, καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθανον, Κτησίας λέγει· (παρ' ἐκείνῳ γὰρ ἦν·) Κῦρος δὲ αὐτός τε ἀπέθανε, καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ.

Devotion of Artapates to Cyrus.

Ἀρταπάτης δὲ ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων, λέγεται, ἐπειδὴ εἶδε πεπτωκότα Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. Καὶ οἱ μέν φασι, βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ· οἱ δὲ, ἑαυτὸν ἐπισφάξαι, σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν· καὶ στρεπτὸν δὲ ἐφόρει καὶ ψέλλια καὶ τὰ ἄλλα, ὥσπερ οἱ ἄριστοι τῶν Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ πιστότητα.

Character of Cyrus. Mode of education among the Persian nobles.

Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν, τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων, βασιλικώ-

Digitized by Google

τατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι. Πρῶτον μὲν γὰρ παῖς ἔτι ὢν, ὅτε ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισὶ, πάντων πάντα κράτιστος ἐνομίζετο. Πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτε ἀκοῦσαι οὔτ' ἰδεῖν ἐστι. Θεῶνται δ' οἱ παῖδες καὶ τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους· ὥστ' εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι.

Superiority of Cyrus to his equals in age. Instance of his courage as a youth.

Ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλίκων ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι· ἔπειτα δὲ φιλιππότατος, καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι. Ἔκρῑνον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατον εἶναι, καὶ μελετητρότατον. Ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθηρότατος ἦν, καὶ πρὸς τὰ θηρία μέντοι φιλοκινδυνότατος. Καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου· καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς φανερὰς εἶχε, τέλος δὲ κατέκτανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαριστὸν εἶναι ἐποίησεν.

Digitized by Google

His integrity as a governor; sense of honour displayed in the instance of the Milesian exiles.

Ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς μεγάλης καὶ Καππαδοκίας, πρῶτον μὲν ἐπέδειξεν αὐτὸν, ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο, καὶ εἴ τῳ συνθεῖτο, καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι. Καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δὲ οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου, ἐπίστευε, μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν. Τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους, πλὴν Μιλησίων· οὗτοι δὲ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. Καὶ γὰρ ἔργῳ ἐπεδείκνυε, καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προεῖτο, ἐπεὶ ἅπαξ αὐτοῖς φίλος ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ καὶ κάκιον πράξειαν.

Shows himself firm both as a friend and enemy; and rigid in punishing evil doers.

Φανερὸς δ' ἦν, καὶ εἴ τις ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτὸν, νικᾷν πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον χρόνον ζῆν, ἕστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. Καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ, ἑνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν, ἐπεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματα προέσθαι.

Digitized by Google

Οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους καὶ ἀδίκους εἶα καταγελᾷν, ἀλλ' ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. Πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερουμένους ἀνθρώπους· ὥστε ἐν τῇ τοῦ Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλλησι καὶ βαρβάρῳ, μηδὲν ἀδικοῦντι, ἀδεῶς πορεύεσθαι ὅποι τις ἤθελεν, ἔχοντι ὅ τι προχωροίη.

Encourages valour especially.

Τοὺς μέντοι γε ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾷν. Καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πεισίδας καὶ Μυσούς· στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας, καὶ ἄλλοις δώροις ἐτίμα· ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς, εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς, δούλους τούτων ἀξιοῦσθαι εἶναι. Τοιγαροῦν πολλὴ ἦν ἀφθονία τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι.

His liberality towards his friends.

Δῶρα δὲ πλεῖστα μὲν, οἶμαι, εἴς γε ἀνὴρ ὢν, ἐλάμβανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου, πρὸς τὸν τρόπον ἑκάστου σκοπῶν, καὶ ὅτου μάλιστα ὀρφῇ ἕκαστον δεόμενον. Καὶ ὅσα τῷ σώματι αὐτοῦ κόσμον πέμποι τις, ἢ ὡς εἰς πόλεμον ἢ ὡς εἰς καλλωπισμὸν, καὶ περὶ τούτων λέγειν αὐτὸν

Digitized by Google

ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμηθῆναι, φίλους δὲ καλῶς κεκοσμημένους μέγιστον κόσμον ἀνδρὶ νομίζοι.

Instances of his considerate attention to them.

Καὶ τὸ μὲν τὰ μεγάλα νικᾷν τοὺς φίλους εὖ ποιοῦντα, οὐδὲν θαυμαστὸν, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων, καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα μᾶλλον ἔμοιγε δοκεῖ ἀγαστὰ εἶναι. Κῦρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων, ὅτι οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· "τοῦτον οὖν σοι ἔπεμψε, καὶ δεῖταί σου, τοῦτον ἐκπιεῖν τήμερον, σὺν οἷς μάλιστα φιλεῖς." Πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε, καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα· "Τούτοις ἥσθη Κῦρος· βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι." Ὅπου δὲ χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δ' ἐδύνατο παρασκευάσασθαι, διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας, καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων ἐκέλευε τοὺς φίλους, τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλὸν, ὡς μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. Εἰ δὲ δή ποτε πορεύοιτο, καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο, ὡς δηλοίη, οὓς τιμᾷ· ὥστε ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι, οὔτε Ἑλλήνων οὔτε βαρβάρων.

Digitized by Google

Attachment of his friends to him; exhibited particularly in his death.

Τεκμήριον δὲ τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπῄει πρὸς βασιλέα· πλὴν Ὀρόντας ἐπεχείρησε· καὶ οὗτος δὲ, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν εὗρε Κύρῳ φιλαίτερον ἢ ἑαυτῷ· παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ἀπῆλθον, ἐπεὶ πολέμιοι ἀλλήλοις ἐγένοντο, καὶ οὗτοι μέντοι οἱ μάλιστα ὑπ' αὐτοῦ ἀγαπώμενοι, νομίζοντες, παρὰ Κύρῳ ὄντες ἀγαθοὶ ἀξιωτέρας ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. Μέγα δὲ τεκμήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς, καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. Ἀποθνήσκοντος γὰρ αὐτοῦ, πάντες οἱ παρ' αὐτὸν φίλοι καὶ συντράπεζοι μαχόμενοι ἀπέθανον ὑπὲρ Κύρου.

Digitized by Google

NOTES.

PAGE 1. Ὁ *οὐρανὸς θρόνος ἐστὶ, the heaven is* (the) *throne:* the article is put with the subject of the proposition, and is omitted in the predicate, when both the subject and predicate are substantives: the same remark applies to *ἡ γῆ ὑποπόδιόν ἐστι*, for *τὸ ὑποπόδιον*.

τοῦ Θεοῦ, of God, literally, *of the God*, i. e. of the being thus designated: articles are used for the sake of emphasis.

τῶν ποδῶν αὐτοῦ, of the feet of him or *his feet.*

The order is: *ὄνομα ἀγαθὸν (ἐστὶν) αἱρετώτερον ἢ πλοῦτος πολύς.*

Supply the sentence thus: *Θυσίαι ἀσεβῶν (ἀνθρώπων εἰσὶ) βδέλυγμα Κυρίῳ.*

Ὁ *ζυγός μου, the yoke of me*, or, *my yoke.*

The order is, *ὁ ἐργάτης ἐστὶν ἄξιος τῆς τροφῆς αὐτοῦ.*

Πᾶν *τὸ ἐν τῷ κ., every thing which is in the world:* understand with the article, the part. *ὄν, being.*

ἡ πίστις, the (quality termed) *faith*, particularly *the faith* required by the Gospel.

τῶν ἔργων, its works: the article is often used for a pronoun.

Page 2. Ἡ (*οὖσα*) *ἄνωθεν σοφία, the wisdom* (being, or which is) *from above:* or, *heavenly wisdom:* the article with an adv. has the force of an adjective.

μακάριοι (εἰσὶν) οἱ πτωχοί: αὐτῶν, of them, theirs.

Digitized by Google

πᾶσα σὰρξ (*ἐστὶν*) *ὡς χόρτος.*

οὐδεὶς ἀνθρώπων (*ἐστὶν*) *οὔτ' ὄλβιος*: ***no one of men is either happy,*** &c. In the Greek language, two or more negatives add emphasis to the negation.

ἡμέρας τεσσ.: ***duration of time*** is expressed by the ***accusative*** in Greek as in Latin.

τῶν ἀνθρώπων: the article is prefixed in Greek to singular and plural nouns, when they denote a whole class: *ὁ ἄνθρωπος*, ***man,*** the human species; *οἱ ἄνθρωποι*, ***men,*** mankind.

ὁ (*ὢν, being*) *ἐν τοῖς οὐρανοῖς, who is in the heavens.*

τὸ φῶς τὸ (*ὄν, being*) *ἐν σοὶ, the light which is in thee.*

τὸ σκότος πόσον (*ἐστὶ*): ***how great*** (is) ***the darkness!***

οὐκ ἀγαθὸν (*χρῆμά ἐστι*), (is) ***not a good*** (thing), or, ***is not good:*** as in Virg. ***Triste lupus stabulis.***

Page 3. *μὴ πράττε μηδέν*: ***do nothing:*** a double negative: see the note on p. 2.

μακάριοι (*εἰσὶν*) *οἱ ἀκ.*: ***blessed*** (are) ***they who hear***: literally, ***the*** (men) ***hearing.***

The order is: *μακάριοι δὲ* (*εἰσὶν*) *οἱ ὀφθαλμοὶ ὑμῶν.*

ὅτι ἀκούει, because they hear, viz. *τὰ ὦτα*: neuter plurals in Greek are followed by a verb singular.

αὐτοῦ ἀκούετε, hear him: i. e. ***listen to his commands, obey him:*** verbs of ***commanding*** and ***obeying,*** are followed by a gen.: Gr. p. 169.

τὰ τρία ταῦτα, these three things: the article is used with the demonstrative pronouns *οὗτος, ὅδε, ἐκεῖνος,* in order to express more strongly the thing designated by them.

μείζων δὲ τούτων (*ἐστὶν*) *ἀγάπη*: the compar. is here used for the superl. *μεγίστη, the greatest.*

τὸν πατέρα ὑμῶν τὸν (*ὄντα*) *ἐν τοῖς οὐρανοῖς, your father* (which is) *in heaven.*

εἰς τὴν ὁδόν, for the journey, or, ***your journey.***

Page 4. *Ὁ σπείρων, he that soweth: οὗτοί εἰσιν,* for *τοῦτό*

Digitized by Google

ἐστιν, this is or represents: *ὁ σπείρας αὐτά, he who sowed them.*

οὐ μὴ κριθῆτε, ye shall not be judged: in negative propositions *οὐ μὴ* with the 1 aor. conj. pass., or with the 2 aor. conj. act. and mid. is used for the *future.*

ἐν ᾧ κρίματι, for *κρίματι ἐν ᾧ: with the judgment, in which* or *with which.*

ὁμοίως τοῖς ἐαρ. ἄνθεσι, in like manner with, just as the flowers of spring: the adv. is followed by a dat., because the adj. *ὅμοιος,* and all others signifying *equality* and *resemblance,* have that construction: Gr. p. 178.

τῇ φύσει τῇ ἀνθρωπίνῃ, by human nature, or by mankind: the adjective is either placed between the article and the noun, or if it follow the noun, the article is repeated: *τῇ ἀνθρ. φύσει,* or *τῇ φ. τῇ ἀνθρωπίνῃ.*

Page 5. Understand *εἰσὶ* after *μακάριοι.*

ὁπότ' ἀκούσω, whenever I may have heard: 1 aor. conj.

κακοῖσι, with troubles: ἀγαθοῖσι, with good fortune.

λυποῦ (κατὰ) φρένα, be grieved in mind.

μὴ τερφθῇς, be not delighted: in prohibitions with *μή,* the conj. aor. or pres. imper. is used: *μὴ λυποῦ, μὴ τερφθῇς.*

πρὶν ἰδεῖν, before you have seen.

πᾶς ὁ ὀργιζόμενος τῷ ἀ., every one that is angry: a dat. follows this verb, as it does *irascor* in Latin.

ὅπως μὴ φανῇς—νηστεύων, that you may not appear fasting or *to fast:* the verb *φαίνομαι,* with many others, is followed by a participle, which must generally be turned into the infin. in English.

τῷ (ὄντι) ἐν τῷ κρυπτῷ, who is in secret.

μακάριοι (ἐστὲ), happy are ye.

The order is: *ποῦ ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς φανεῖται;*

πεφασμένον (ἐστὶ), (is) visible, made manifest: fr. *φαίνω.*

στενὴ (ἐστὶν) ἡ πύλη, narrow (is) *the gate: ἡ ἄγουσα, which leads.*

Digitized by Google

Page 6. αἱ (γραφαὶ) μαρτυροῦσαι, *the* (Scriptures) *witnessing*, or *those which bear witness.*

ἠκολούθει αὐτῷ, *was following him;* verbs of this sense, ἕπεσθαι, ἀκολουθεῖν, ὀπηδεῖν, take the dative.

μακάριοι (εἰσὶν) οἱ πεινῶντες, *blessed* (are) *they who hunger.*

καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, *do good to, treat well those that hate you.*

τὸν (ὄντα) πλησίον σου, *him* (that is) *near thee, thy neighbour.*

πεινῇ, διψῇ, pres. conj.: compounds of ἀν require this mood.

Page 7. τὸ μὲν σῶμα (understand κατὰ), *as regards the body:* so also with τὴν ψυχήν.

αἰτιωμένων τινῶν αὐτὸν, (gen. absolute) *some blaming him,* when some persons were censuring him.

(ἐμὲ) γράφειν ἐν πολλῷ χρόνῳ, *that I paint in much time:* or take much time to paint: καὶ γὰρ γράφω εἰς π. χρ., *for I also paint for much time,* i. e. *for posterity.*

μάλιστα ἂν εὐδοκιμοίης, *you would obtain the most credit, have the best character:* Attic opt.

εἰ φαίνοιο—πράττων: on the constr. of φαίνομαι with a part., see note on p. 5.

ἃ ἂν ἐπιτιμῴης (Att. opt.) τοῖς ἄλλοις πράττουσιν (for) *which you would blame others* (when) *doing them.*

ἡδέως ἔχε, *be pleasant:* ἔχω with an adverb is the same as εἰμὶ with an adjective: the idiom may be understood by supplying σεαυτόν, *have thyself, deport thyself.*

τὸν μὲν, *the one:* τὸν δὲ, *the other.*

οἷς χρὴ παραδείγμασι χρωμένους, *whom it behoves us using as examples:* the dat. follows χράομαι in Greek, as the abl. does *utor* in Lat. On ὀρέγεσθαι with a gen, see Gr. Gr. p. 166, 6.

τοῦ ἀνδρός, *of my husband.*

τὴν ψυχὴν ζημιωθῇ, *be fined in, have to pay as a penalty:* verbs passive are frequently followed by an accus. in Greek; especially such as take a double accus. in the active voice.

Digitized by Google

Page 8. *οὐ τιθέασιν* (*ἄνθρωποι*), *men do not place.*
τῶν ὄντων ἀγαθῶν, of the things being or *which are good.*
παραμυθίαν, as a consolation: put in apposition with *τὰ δάκρυα.*
ἔλεγε, imperf. *used to say.*

Page 9. *δοθήσεται, it shall be given*, i. e. what ye ask.
ἔδειξε, is wont to show; such is frequently the force of the 1 aor.: see Gr. p. 212, 1.
διετέλει θύων, continued sacrificing.

Page 10. *τοῦ κτίσαντός σε, the* (Being) *having created thee*; thy Creator: verbs signifying *to recollect* and *to forget*, are followed by a gen.
οὐ μέλει σοι, there is no care to thee, thou carest not.
ὡς μηδένα λήσων, as if you could escape the notice of no one.
καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, for even should you have concealed it for the moment.
ἐν οἷς (*πράγμασιν*) *εἰμὶ, in whatever circumstances I am.*
γῆν κατὰ πᾶσαν ἔχει, by *tmesis* for *κατέχει πᾶσαν γῆν, occupies* or *prevails throughout all the world.*

Page 11. *οὐδὲν* (*ἐστι*) *χαλεπώτερον, nothing* (is) *more difficult*: the gen. is used after comparatives.
τοὺς κακοὺς εὖ ποιῶν, in doing good to the wicked.
ὅμοια πείσῃ τοῖς σιτίζουσιν, you will suffer the same things as those who feed; see Gr. p. 178, 5, and note on p. 4. *πείσῃ* fr. *πάσχω.*
τοὺς τυχόντας, chance persons.
διέλυσε, is wont to dissolve: see note on p. 9.
οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξ., not even the whole of life will be able to efface: see Gr. p. 230, 2. b.
εὐσέβει τὰ πρὸς τ. θ., be religious in the (things pertaining) *to the Gods.*
ἐκεῖνο μὲν—τοῦτο δέ, the former, the latter: like *ille* and *hic* in Latin.

Digitized by Google

κατέκρινε πάντων, has pronounced upon all: see Gr. Gr. p. 176, 30.

ἕνεκα τοῦ πλείω ποιῆσαι, for the sake of making more, increasing.

ἐπὶ τῷ βελτίω καταστῆσαι, with the view of rendering better.

Page 12. *ἀπείρως ἔχειν,* for *ἀπείρους εἶναι, to be ignorant:* see note on p. 7.

μόλις γάρ τις ἂν ἐπικρατήσειεν, for scarcely will any one surmount, or *be able to surmount:* see note on p. 11.

δειλοὺς εὖ ἔρδοντι, to him that does good to worthless men.

ἴσον καὶ, it is the same thing as.

εὖ πάλιν (ἂν) ἀντιλάβοις, will you receive good in return.

ἔπεται, with a dat.: see note on p. 6.

ἔπλετο, for *ἐπέλετο, nothing* (ever) *was,* i. e. *nothing is:* so the Latins (especially the poets) use *erat* for *est.*

τοῖς μέμηλε δίκη, for *οἷς, to whom justice has been a care:* fr. *μέλει.*

Page 13. *ἀκούσας αὐτῶν:* the verb *ἀκούω* is often followed by a gen. of the person.

τῶν οἰκ. ὑμῶν ἐμπ., genitive absolute, *while your houses are burning.*

πᾶν τὸ παρὰ κ. δρ. ἐπ., every thing done unseasonably (is) *worthy of reproach.*

ἐπεστράφη, turned round: 2 aor. pass. of *ἐπιστρέφω,* used in a middle sense.

προσμείνας μικρόν, having waited a little.

μεγάλων (κινδύνων) ἐπειρ., have experienced great dangers.

Page 14. *περιέλειχε, began to lick:* imperf.

ἐφέρετο, was drawn out, gushed forth.

ἄχρις οὗ (χρόνου), up to the time in which, until.

ὁ μῦθος (ἐστὶ) πρός, the fable (applies) to.

Digitized by Google

ἄρξεται τοῦ ἀδικεῖν, *will commence the doing injury, begin to do mischief.*

κἂν (κατὰ) τὰ μέγιστα εὐ., *although it may be benefited in the greatest degree.*

ἐβοηθήσαμεν ἄν ὑμῖν: the particle ἂν with the indicative gives it the force of the conjunctive: ἐβοηθήσαμεν, *we assisted:* ἐβοηθήσαμεν ἄν, *we would have assisted:* Gr. p. 213, 4.

τίσι πολεμεῖτε, *with whom ye are at war.*

Page 15. ὑπολαβοῦσα (τὸν λόγον), *having taken up* (the conversation), i. e. *having replied.*

ἐλοιδόρει, *began to revile*: imperfect.

ὦ οὗτος, *you fellow:* Gr. p. 203, 7.

ὡς—τέξεται, *that it will bring forth,* to be construed like the conjunctive: *that it would, &c.*

δὶς τῆς ἡμέρας, *twice in the day;* see Gr. p. 172, 10.

τῶν πλειόνων ἐπιθυμοῦντες, *desiring more:* see Gr. p. 166, 6.

Page 16. Ὁ μῦθος πρὸς ἄνδρας, *the fable* (applies) *to men.*

οὐκ ἂν δυναίμην, *I shall not be able, I cannot.*

ἀσβόλης πληροῖς: verbs of *filling* take a gen.: Gr. p. 166, 6. πληροῖς, contr. fr. πληρόῃς, pres. conj.

πᾶν τὸ ἀνόμοιον (ἐστιν) ἀκ., *every thing that is unlike* (is) *incapable of fellowship.*

ἀετοῦ ἐδεῖτο, *was begging of an eagle:* see Gr. p. 168, 8.

τοῦ δὲ παραινοῦντος, for αὐτοῦ, gen. absolute, *but when he admonished her.*

Page 17. ταὐτοῦ, for τοῦ αὐτοῦ, *the same.*

οὐκ εἶχον, *had it not* (in their power), *were not able.*

ὁμοίαν τῶν λ. ὀρν., *like the rest of birds;* ὅμοιος is generally followed by a dative: the gen. may depend on the principle explained in Gr. Gr. p. 168, 9.

καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου (πλούτου), *was deprived even of that little.*

Digitized by Google

Page 18. *ὑπό του*, for *τινος*, *by some one.*
ἃ μὴ τέχνη παρέσχε, *such things as art has not supplied.*
ἑαυτὸν ἠξίου—χειροτονεῖν, *urged* (them) *to elect him.*
αἱρουμένων δὲ τοῦτον πάντων, *but when all were choosing him.*
τοῦτό (*ἐστι*) *μοι ἑτέρα λύπη*, *this* (is) *another sorrow to me.*
τὸ τοῖς ἰδίοις πτ. ἐναποθνήσκειν, for *ἀποθνήσειν ἐν τοῖς ἰδ. πτ.*, *to die upon* or *by means of one's own feathers.*
ἐκ τῶν ἰδίων, *from his own* (friends).

Page 19. *ᾔτει αὐτοὺς τροφήν*, *was asking them* (for) *food:* a double accusative, as in Latin after verbs of similar meaning: see Gr. p. 185, *2.*
τὸ θέρος, (*κατὰ* und.) *during summer:* Gr. p. 188, 13.
χειμῶνος (*ὥραις*) *ὀρχοῦ*, *dance in winter-time.*
ἐν παντὶ πράγματι, *in any matter.*
ὡς μικροῦ καὶ ἀποθανεῖν, *as within a little even to have died, as almost to have died.*
θέρους, *in summer:* Gr. p. 173, 11.
ὦ οὗτος, *hark you!*
ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, *should then the water here also be dried up.*
προσιέναι τοῖς πράγμασι, *to go about our business.*

Page 20. *πρὸς τούτοις*, *in addition to these things, besides.*
τί δή ποτ' οὖν, *pray, why then.*
κακῶς πάσχων, *being in a wretched plight:* *ἐβέβλητο*, *had been laid, was lying helpless.*
ἐδεῖτο (*αὐτοῦ*) *κομίσαι ποτὸν αὐτῷ ἐκ τοῦ π. π. requested it,* i. e. the sheep.
τὸ δὲ (*πρόβατον*) *ὑποτυχόν*, *and it* (the sheep) *retorting.*
χρήσῃ μοι τροφῇ, *will make use of me for food.*
ἐτύγχανε γὰρ προακηκουῖα, *for she happened to have previously heard.*
τοῖς ἔξω, *to strangers:* *δοκοῦντές τινες εἶναι*, *seeming to be of some consequence.*

Digitized by Google

Page 21. τοῖς ἄλλοις ζώοις ἄλλα μὲν ἔδωκε, *has given one thing to one animal and another to another.*

Μενεκράτει ἦν τοσοῦτος τύφος, *Menecrates had so much vanity:* as in Lat. *est* for *habeo.*

ὥστε ἑαυτὸν ὠνόμαζε (or ὀνομάζειν) Δία, *so that he used to call himself Jupiter.*

εὖ πράττειν, *sends greeting:* the epistolary style of address: as the Lat. *salutem dicit:* the infinitive is governed by some verb understood: so ὑγιαίνειν afterwards: *wishes health;* or *wishes a sound mind:* the verb admitting both interpretations.

Page 22. κατὰ μικρόν, *by little and little, gradually.*

καὶ ταῦτα εὐήθης, *and that too, and moreover a simpleton.*

πρὸς τοὺς κ. ὑμῶν ἔσται μοι ὁ λ., *my reckoning shall be with your masters, I will call your masters to account.*

τοῦ Φ. (κατὰ) πολλὰ κατορθοῦντος, *when Philip was very successful.*

Page 23. ἔμελλε δώσειν, *was about to give,* i. e. *offered to give.*

τῶν πρώτων—πάντων, *of all his chief and best friends.*

μὴ δεῖσθαι, *that he was not in need, did not want them.*

Page 24. ἐπαύοντο καμάτου, *did they cease from toil:* παύω, act. *to make to cease:* παύομαι, *to cease.*

οὐδὲ χάρις ἦν τοῦ δικαίου, *nor had they any regard for, did they shew favor to the just man.*

Page 25. τί ἦν τὸ λεγόμενον, *what was the thing meant,* literally *spoken of.*

τὸ τελευταῖον, *at last.*

Κρέων ἐκήρυξε, δώσειν τῷ τὸ αἴνιγμα λύσαντι, *that he would give to the man having solved,* i. e. to him who should solve the enigma.

τὴν γυναῖκα τοῦ Λαΐου, *the wife of Laius.*

ἔλυσεν, *solved the enigma.*

Digitized by Google

Page 26. *νόμος ἐστὶ τοῦ ἀπέχεσθαι, there is a law about abstaining.*

ἄρχειν τὸ ἔτος, to hold office (during) *their year.*

Page 27. *ἐν τούτῳ*, sc. *χρόνῳ, at this time, upon this.*

τοὺς φίλους εὐεργ., you must serve your friends, a verbal like the Lat. gerund: *benefaciendum est amicis.*

Page 28. *τούτων ἕνεκα, for the sake of these things.*

πρὶν μὲν πεινῆν, before that you are hungry: inf. of *πεινάω*: so *διψῆν* fr. *διψάω.*

τοῦ θέρους, in summer-time.

Page 29. *ὅσα ἤμελγε, as many as he was in the habit of milking: ἤμελγεν ὅις, began to milk the sheep.*

Page 30. *ὅσον ὀργυιάν, as much as six feet.*

Page 31. *Οὔτινά με καλοῦσιν, call me Οὖτις, No-man.*

ἐγὼ ἔδομαι, I will eat: see defective verbs, under *Ἐσθίω.*

ἄλλοθεν ἄλλος, one from one quarter and another from another.

ἦ μή τις—ἀπελαύνει; is any one driving away? ἦ μή τις κτείνει; or is any one killing, or *attempting to kill?*

Page 32. *ἐτύγχανε παρών, was accidentally present*, or *chanced to be present: τυγχάνω, λανθάνω, φθάνω, κυρέω* are followed by participles, and are generally to be rendered by adverbs.

καὶ—τριακοσίους, moreover he went up with 300 *hoplites;* the part. *ἔχων* may frequently be rendered as the prep. *σύν.*

(*λέγων*) *ὡς ἐπιβουλεύοι αὐτῷ, stating that he was plotting against him.*

Page 33. *ὡς ἀποκτενῶν, with the intention of putting him to death.*

βουλεύεται, ὅπως—ἀδελφῷ, literally *lays plans, how he never*

Digitized by Google

more shall be, i. e. that he may not be any longer subject to his brother.

ὅστις δ' ἀφικνεῖτο, *whoever used to come*: τῶν παρὰ βασιλέως, *of persons from the king.*

καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, *moreover he paid attention to the foreigners* (staying) *with himself.*

εὐνοϊκῶς ἔχοιεν, *might be kindly disposed.*

ὡς μ. ἐδ. ἐπικρυπτόμενος, *concealing his designs as much as possible*: Gr. p. 200, 3.

ὅτι ἀπαρασκευαστότατον, *as much unprepared as possible.*

ὡς ἐπιβουλεύοντος T., *since Tissaphernes was plotting against*: Gr. p. 215, 16.

ἦσαν—T. τὸ ἀρχαῖον, *belonged formerly to Tissaphernes.*

τὰ αὐτὰ ταῦτα βουλευομένους, *that they* (the Milesians) *were planning the same*, viz. *to revolt to Cyrus.*

τοὺς μὲν, τοὺς δὲ, *some—others.*

Page 34. πρόφασις—τοῦ ἀθροίζειν, *excuse for collecting.*

τῆς ἐπιβουλῆς οὐκ ᾐσθάνετο, *was not aware of the plot*: Gr. 166, 6.

ὥστε—πολεμούντων, *so that he was not at all concerned about their being at war.*

ᾗ ἐδύνατο τάχιστα, *with as much expedition as possible*: understand ὁδῷ with ᾗ.

ἔχων οὓς εἶπον, *with those of whom I have spoken*: note on p. 32.

Page 35. οὐκ ἔφ. ἰέναι τοῦ πρόσω, *refused to march farther.*

ἐβιάζετο, *endeavoured to force.*

μικρὸν ἐξ. τοῦ μὴ καταπ., *barely escaped being stoned to death.*

τά τε ἄλλα ἐτίμησε, καὶ—: *he not only honoured in other respects, but also*: τε—καὶ frequently admit of this version.

εἰς τὸ ἴδιον, *for my private use.*

ἀλλ' οὐδὲ καθ., the conj. ἀλλὰ adds force to the negation, *nay, I did not even spend them in indulgence.*

Digitized by Google

ἀνθ' ὧν εὖ ἔπαθον ὑπ' ἐκείνου, in return for the favours that I had received at his hands: εὖ πάσχω, to be well treated.

Page 36. *ὅτι ἂν δέῃ, πείσομαι, whatever may be necessary, whatever may be the consequence, I will suffer it.*

ἂν εἶναι τίμιος, that I shall be honoured: Gr. p. 230, 1.

ὡς ἐμοῦ ἂν ἰόντος, that I therefore intend to go: Gr. p. 215, 16.

ὅπῃ ἂν καὶ ὑμεῖς (ἴητε), wherever you may go.

ὅτι οὐ φαίη παρὰ β. π., that he refused to march against the king.

ἰέναι οὐκ ἤθελε, did not choose to go.

ὡς καταστησομένων τ. εἰς τὸ δ. because these matters would settle themselves or be settled for his interests: Gr. p. 215, 16.

τῶν ἄλλων τὸν βουλόμενον, any one that chose of the rest.

Page 37. *δῆλον (ἐστὶν) ὅτι τὰ μὲν Κύρου οὕτως ἔχει πρὸς ἡμᾶς, it is manifest that the circumstances of Cyrus are in this state as regards ourselves.*

σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν, I am conscious to myself that I have altogether deceived him: οἶδα and its compounds are followed by a participle.

ἐπιθῇ δίκην, ὧν, by attraction for *τούτων, ἃ,* i. e. *καθ' ἃ, may inflict punishment for those things in which he thinks he has been wronged by me.*

ὅπως ὡς ἀσφ. ἄπιμεν, how we shall depart most securely: εἶμι and its compounds have generally a future sense in the present.

Page 38. *Κῦρον αἰτεῖν πλοῖα, to ask Cyrus for boats:* a double accusative, as in the Latin construction.

πέμψαι—ἄκρα, to send persons also to pre-occupy the heights.

ὅπως μὴ φθάσουσι—καταλαβόντες, that they might not be the first to occupy: φθάνω, *to be beforehand, to anticipate,* (like τυγχάνω and λανθάνω) is followed by a participle.

ὡς μὲν στρατηγ. ἐμὲ τ. τὴν στρατηγίαν, that I am likely to undertake this command: Gr. p. 215, 16.

Digitized by Google

(λεγέτω) δὲ ὡς πείσομαι τῷ ἀνδρί, *that I will obey the man whom ye shall choose to my utmost ability.*

ὥς τις καὶ ἄλλος μ. ἀνθρώπων, *as much as any other man can possibly do.*

ὥσπερ πάλιν τὸν στόλον Κ. μὴ π., *as if Cyrus was not intending to make a voyage back again,* i. e. would not require vessels to convey his forces back.

Page 39. ᾧ ἂν Κῦρος δῷ, by attraction for ὅν, Gr. p. 204, 1.

αὐταῖς ταῖς τριήρεσι, und. σύν, *with the triremes themselves, triremes and all:* Gr. p. 182, 6.

οὐχ οἷόν τε ἔσται, *it will be impossible.*

λαθεῖν αὐτὸν ἀπελθών, *to go away without his knowledge:* note on p. 38.

οἵτινες ἐπιτήδειοι (εἰσί), *such as are fit.*

τί β. ἡμῖν χρήσασθαι, *for what purpose he wishes to employ us.*

ἠρώτων Κ. τὰ δόξαντα, *asked Cyrus what had been determined upon;* a double accus.: see Gr. p. 185, (2).

πρὸς ταῦτα βουλευσόμεθα, *will deliberate according to these things, accordingly.*

προσαιτοῦσι μισθόν, *to them asking for an increase of pay.*

Page 40. οὐδ' ἐνταῦθα—φανερῷ, *not even then did any one hear at least in an open manner.*

οὐκ ἔφασαν ἰέναι, *refused to march.*

τοῖς πρ. μετὰ Κ. ἀναβᾶσι: see p. 32.

μέχρις ἂν καταστήσῃ τοὺς Ἕλλ. εἰς Ἰ. πάλιν, for ἐν Ἰωνίᾳ: 'until he should have brought the Greeks back again into Ionia and have settled them there.'

Page 41. τὸ μὲν δὴ πολὺ (μέρος) τοῦ Ἑλλ. (στρατεύματος), *the greater part of the Grecian force.*

πρὶν δῆλον εἶναι, *before it was clear.*

προτιμήσεσθε πλέον τῶν ἄ. στρ., *you will be honoured more than the rest,* fut. mid. in passive sense: Gr. p. 212.

Digitized by Google

ὑμεῖς δόξετε αἴτιοι εἶναι, you will seem to be the originators, or authors, in having commenced the crossing over.

καὶ K. *εἴσεται χ. ὑμῖν ὡς προθ. οὔσι καὶ ἀποδώσει, will acknowledge* (know or be sensible of) *his obligation to you as the most forward and will repay it: εἴσεται*, Att. fut. of *εἴδω* or *εἰδέω, to know.*

ὅτι ὡς φίλοι τεύξεσθε Κύρου (*φίλου*), *as being friendly* (to him) *you will meet with Cyrus* (friendly to you): on the gen. after *τυγχάνω*, see Gr. p. 173, 20.

ᾔσθετο διαβεβηκότας, when he perceived or *learnt that they had crossed over*: *αἰσθάνομαι* is followed by a participle.

Page 42. *ἐλέγετο, he was said*, or *it was said that he.*

ἀλλὰ πλοίοις (*μόνον*), *but with boats* (only).

τὸ δὲ σύμπαν, upon the whole.

δῆλος ἦν K. *σπεύδων*, for *δῆλον ἦν Κῦρον σπεύδειν, it was manifest that Cyrus was hastening on.*

ὅπου μὴ ἐκαθέζετο, except he encamped anywhere.

ὅσῳ μὲν ἂν θ. ἔλθοι, the quicker he should have come.

τοσούτῳ ἀπ. β. μαχεῖσθαι, by so much the more unprepared would he fight with the king.

καὶ ἡ βασιλέως ἀρχὴ τῷ προσέχοντι τὸν νοῦν ἦν συνιδεῖν ἰσχυρὰ οὖσα, and as to the empire of the king, to him that applied his mind, it was [(easy) *to understand that it was strong*, &c. i. e. it was easy for an attentive observer to see that the empire of the king was strong in extent of territory, &c.

Page 43. *τῷ διεσπάσθαι τὰς δυνάμεις, in his resources being dispersed.*

ἐντεῦθεν προϊόντων (*αὐτῶν*), *as they were pursuing their march.*

(*κατὰ*) *τὰ πολεμικὰ λεγ. ἐν τοῖς ἀρ., reputed among the best in warlike matters.*

κωλύσειε τοῦ καίειν ἐπιόντας, would hinder them from burning as they went along.

Digitized by Google

ποιήσειεν, ὥστε—αὐτούς, would cause or *take care that they should not be able.*

Page 44. *ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα, to put out of your way, get rid of as soon as possible:* like the Lat. *e medio tollere.*

ὡς μηκέτι δέοι, that it may be no longer necessary to watch him: in general *that it may* is expressed by the conjunctive; *that it might* by the optative: Gr. p. 214, 13.

τὸ κατὰ τοῦτον εἶναι, as far as this man is concerned: εἶναι is often redundant in Attic idioms.

φίλους τούτους εὖ ποιεῖν, to do good to these friends: Gr. p. 184, 5.

προσθέσθαι, sc. *τὴν ψῆφον, ταύτῃ τῇ γνώμῃ, gave their vote in favour of,* or *agreed to this opinion.*

τῆς ζώνης, by the girdle: Gr. p. 174, 22.

ἐπὶ θανάτῳ, for death, i. e. to deliver him over to execution.

καὶ οἱ συγγενεῖς, even his relations.

Page 45. *(αὐτοὶ) ἐξῆγον, οἷς προσ., they to whom it had been assigned,* whose province it was, *led him forth.*

οἵπερ πρ. προσεκύνουν, they who before were in the habit of prostrating themselves before him.

συνεβουλεύετο τότε, then consulted with them.

Page 46. *οἴει γὰρ—*; *γὰρ* is often used interrogatively; *do you really think?*

ἀμφὶ ἀγ. πλήθουσαν, about the time when the market place is full, probably about nine o'clock.

Page 47. *καὶ ἕκαστον καθίστασθαι, and that each should station himself.*

Page 48. *ἐχόμενοι τούτων, having hold of these,* i. e. *next to these*: see Gr. p. 174, 22.

Digitized by Google

πάνθ' ἡμῖν πεποίηται, every thing is done, all is achieved by us.
ἀκούων Κύρου, hearing from Cyrus; ἔξω ὄντα—βασιλέα, that the king was beyond the Grecian left.
μέσον τὸ ἑαυτοῦ, occupying the centre of his own line.

Page 49. *ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι, that it should be his care,* or *that he would take care that things should be well.*
ἐν τῷ αὐτῷ, in the same place.
ἐπιστήσας, having stopped, sc. *τὸν ἵππον*: the 1 aor. of ἵστημι being transitive requires an accus. to be supplied.
ὃς ἐθαύμασε, for *αὐτός*: Gr. p. 206, 10, (1).

Page 50. *(αὐτῶν) πορευομένων, as they were marching.*
πρὶν τόξευμα ἐξικνεῖσθαι, before the discharge of arrows could reach them.
ἐπεὶ προΐδοιεν, διΐσταντο, when they happened to see them coming, they would open their ranks.
ἔστι δ' ὅστις καὶ κατελήφθη, and one was even caught: ἔστιν ὅς, as the Lat. *est qui,* is used for *τις*: Gr. p. 206, 8.
καὶ—ἔφασαν, and yet they said that even he suffered no harm.
οὐδὲ—οὐδεὶς οὐδέν: on a redundancy of negatives, see Gr. p. 231, 4.
τὸ καθ' ἑαυτούς, the part opposed to them, or *as far as they were concerned, for their part.*

Page 51. *οὐδ' ὥς, not even thus, under these circumstances.*
ᾔδει αὐτόν, ὅτι μέσον ἔχοι, the Greek idiom for *ᾔδει ὅτι αὐτὸς ἔχοι, he knew that he was occupying.*
μέσον ἔχοντες τὸ αὐτῶν, occupying the centre, viz. *that of their own body.*

Page 52. *οὐκ ἠνέσχετο, he could not restrain himself.*
ἰᾶσθαι αὐτὸς τὸ τρ. φησι, and he says that he himself healed the wound: the Greeks put the nominative before the infinitive,

Digitized by Google

and not the accusative, if the subject of the finite verb, and that nominative be the same.

μαχόμενοι καὶ βασιλεὺς καὶ K.: a nominative absolute: Gr. p. 165, 9.

ὑπὲρ ἑκατέρου, in defence of each.

οἱ μὲν—οἱ δέ, some—others: Gr. p. 163, 5.

Page 53. *τῶν δοκούντων γενέσθαι ἐν πείρᾳ Κύρου, of those that were considered to have been in the acquaintance of Cyrus.*

ἰδεῖν ἐστι, it is possible to see.

τοῖς τε πρεσβυτέροις—πείθεσθαι, and to be more obedient to his elders even than those of an inferior rank to himself.

καὶ τοῖς ἵπποις ἄρ. χρ. (ἐδόκει), *and* (he seemed or was thought) *to manage his horses the best.*

ἔκρινον δ' αὐτόν, sc. *οἱ ἄνθρωποι, men judged him.*

τῇ ἡλικίᾳ ἔπρεπε, it was suited to his age.

τὰ μὲν ἔπαθεν, sc. *τραύματα, he suffered those wounds.*

πολλοῖς μακαριστὸν εἶναι ἐπ. he caused him to be an object of congratulation in many respects; or it may be for *ὑπὸ πολλῶν, by many.*

